This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`



43. 939.

SCHOLIORUM

THEOCRITEORUM

PARS INEDITA

QUAM

AD CODICIS GENEVENSIS FIDEM

EDIDIT

J. ADERT

SCH. NORM. A. ET IN GYMN. GENEV. PROF.

TURICI

IMPENSIS MEYERI ET ZELLERI.

1843.

„ Difficillima persaepe res est iudicare de eiusmodi scriptorum
„ et verbis et sententiis. Quid? quod barbara et soloeca in his haud
„ raro potiora sunt. Id tantum providendum, ne delirent, ne insaniant.“

(Jo Casp. Orellius ad Cl. Mamertum de stat. Anim. Lib. II. C. 7.)

TYPIS ZÜRCHERI ET FURRERI.

CAR. BEN. HASE

ACAD. INSCR.

SOCIO

BIBLIOTH. REGIAE

CVSTODI

MAGISTRO FAVTORIQVE

CARISSIMO

HVNC QVALEMCVNQVE LIBELLVM

D. D. D.

EDITOR OBSERVANTISSIMVS.

L. S.

Scholiorum Theocriteorum Ms. Codex Genevensis jamdudum innotuerat, quum Wuestemannus, V. Cl., hunc, in Editionis quam parabat usum, apud nos conferri jussit (cf. Praef. p. XV et XVI). Casaubonus enim paucas excerpserat ex ipso Codice particulas[1]), et Valckenario Ruhnkenioque Vir Doctus, nescio quis, duorum haudquaquam spernendorum scholiorum copiam fecerat (cf. Id. VII et XVII)[2]). Placuit igitur, quum Msti Codicis usus mihi fieret, inedita exscribere, atque ut liber Kiesslingii Gaisfordiique Editt. integerrimum supplementum foret, Genevensibus Parisina adjungere scholia, quae Gailius nonnullis e Msstis primus protulit. Hujus enim Editio Theocriti[3]) ob immane, quo venalis fuit, pretium, et forsitan ob Editoris haud probatissimum omnibus nomen, paucorum tantum in manus venit. At, licet nimis amplam Glossarum farraginem complectatur, ignota, vel Gaisfordianis meliora, profert, quae cum nostris recudenda curavimus. Quae mihi mendosa nimis videbantur, correxi, caetera relinquere intacta malui: nam in talium hominum sermone, quid sit probum, nec ne, dijudicare difficillimum

---

[1]) Cf. Lect. Theocr. *passim*, Comm. in Lib. I. Polyb. pag. 85.

[2]) Caeterum Thom. Wartonus (apud Gaisf. Poët. Min. V. pag. XI. n. *m.* Ed. 1823) de his jam pridem egerat, quem cf.

[3]) Lutetiae prodiit, a. MDCCCXXVIII. 2 vol. 8⁰, *textum*que Theocriti, variantes Lect. scholiaque dat.

arbitror: adde quod Gailius interpunctione prava vel tacitis emendationibus viam nonnunquam obscurat, nedum illustret. Codex autem Genevensis quartodecimo saec., ni fallor, ex aliquo vetustiore libro descriptus, mirum in modum cum Vat. 3 et 4, et Paris. M. (Gaisf. A.) saepissime congruit, atque Theocritea praeter scholia, Hesiodea, vitamque Pindari cum Graecorum versuum conspectu quodam habet. Scriptus est nitidissime, at quum librarius librum ἀρχέτυπον vel male legeret, vel prave intelligeret, innumera depravata perturbataque exhibuit. Nonnulla correxi, multa vero, librorum inprimis ope destitutus, me doctioribus emendanda reliqui. Quod si non omnino tibi fuerit ingratus hic libellus, quam maximam hujus velim habeas gratiam Baitero meo, V. Cl., Professori Turicensi, cujus auspiciis haec opella nostra prodiit. Vale

Genevæ, Kal. Jan. MDCCCXLIII.

Not. Scholia Parisina *asterisco* notavimus, adjecta Msti litera, nostra vero, ad Id. XIV usque, literis A. B. quae priorem posterioremve Msti ἐξήγησιν indicant, quod, haud nescio an recte, ceteri neglexerunt Editores. — Gailii Mssti hi sunt:

A. 2596. — B. 2721. — C. 2722. XV S. — D. 2726. XIV S. — E. 2758. XIV S. (Gaisf. C.) — F. 2763. XVI S. — G. 2781. XV S. — H. 2786. XIV S. — I. 2802. XIV S. — K. 2812. XV S. — L. 2831. XIII S. — M. 2832. XIII S. (Gaisf. A.) — N. 2833. — O. 2834. XV S. — P. 2835. XIV S. (Gaisf. B.) — Q. 2884. XIII S. — R. 2998. — S. 3026. — Y. 169. — Z. 351. XVI S.

ΕΙΔΥΛΛΙΟΝ α'.

* Τοῦ σοφωτάτου Κυροῦ Μανουὴλ Μοσχοπούλου σχόλια καὶ Δημητρίου τοῦ Τρικλινίου. Δημητρίου τοῦ Τρικλινίου. Τὸ παρὸν εἰδύλλιον σύγκειται ἐκ στίχων δακτυλικῶν ἐξαμέτρων ἀκαταλήκτων ρνά, ὧν τελευταῖος· „ου μὴ σκιρτασῆτε ..." — Συνίσταται οὖν ὁ δακτυλικός, ἤγουν ὁ ἡρωϊκὸς στίχος ἐκ δακτύλου καὶ σπονδείου, ἐν μόνῃ δὲ τῇ ἕκτῃ χώρᾳ δέχεται σπονδεῖον ἢ τροχαῖον. Μ.

Β. 1. Καὶ ἀ πίτυς. λείπει τὸ πεφυκυῖα. ἥδιον δὲ το τῆς πίτυος ψιθύρισμα, ὅταν ῥιπισθῇ, στενότητι τῶν φύλλων σχιζομένης τῆς φωνῆς.

Β. 3. Μετὰ Πᾶνα τὸ δεύτερον. ἀντὶ τοῦ, πρῶτος ὁ Πάν, δεύτερος σύ· τὰ δεύτερα ἆθλα τοῦ Πανὸς ἀποίσει, τῶν δὲ ἄλλων τὰ πρῶτα.

Β. 3. ἀποισῇ καὶ ληψῇ περισπαστέον. ἐπὶ τοὺς μέλλοντας τῶν ὁριστικῶν περισπῶσιν οἱ Δωριεῖς· λεξῇ, γραψῇ, ληψῇ καὶ τὰ ὅμοια.

Α. 12. λῆς ἀπὸ τοῦ λέειν, ὅθεν λῷον, ἐπωφελές, τουτέστιν ὃ πάντες θέλουσιν· ἢ ἀποκοπῇ τῆς θε, λῆς ἀντὶ τοῦ θέλης.

Α. 12. καθίξας. τροπῇ τοῦ σ εἰς ξ, ἔθει [τῶν] Ἀθηναίων.

Β. 13. κάταντες γεώλοφον. Τὸν κατωφερῆ τόπον, ἢ τὸν ὑψηλόν· [κολωνὸς δὲ] τόπος περιέχων ἀπὸ τῆς γῆς μικρόν.

B. 18. δριμεῖα χολά. ὀξύχολος δὲ περιδεικνὺς αὐτοῦ τὸ ὀξύχολον ἐφ' αἷς μεσημβρίζειν εἴωθε.

B. 25. δωσῶ. φησὶ δὲ τοὺς πολυτόκους, πολυχόλους, ἤγουν πολυγαλάκτους.

* 27. καρῷ. Κηρῷ ἢ μόσχῳ ἢ τῷ λεγομένῳ καροφύλλῳ, ἢ ἄλλῳ τινὶ εὐώδει, ὡς ἀπομέθας ποιεῖν τοὺς εὐωδιαζομένους. K.

A. 29. ὑψόθι κισσός. Ἐν τῷ τελευταίῳ μέρει τοῦ κισσυβίου, τουτέστιν ἐν τῷ ἄκρῳ τοῦ χείλους.

B. 29. ὑψόθι κισσός. ἀπὸ τούτου κισσύβιον, οἱονεὶ χυσσίβιόν τι ὄν.

* 30. Ἐλίχρυσος, τὸ τοῦ κισσοῦ ἄνθος· Ἄνθει ἐλιχρύσου ἐναλίγκιος. Z. Κονίομαι. Τὸ κονιορτῷ φύρομαι, ἀφ' οὗ καὶ τὸ εἰς μάχην ἑτοιμάζομαι ἀπὸ τοῦ προτέρου. ἐνταῦθα κεκονισμένος ἀντὶ τοῦ συμπεφυρμένος ἁπλῶς καὶ κεχρισμένος. M. J. Y.

* 33. ἄμπυκι. περιστεφάνωμα χρυσοῦν ἐκ πέπλου ἐν τῇ κεφαλῇ φοροῦσα. K.

B. 34. ἐθειράζοντες καὶ καθεκότες τὰ γένεια. ἄλλως. ὑποχωρεῖν, θεραπεύειν φησί.

B. 38. κυλοιδιοῶντες. Οἱ τὰ κοῖλα τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς οἰδοῦντες καὶ ἐξογκούμενοι· κοῖλα δέ, τὰ ὑποκάτω τῶν ὀφθαλμῶν, τὰ ὑπώπια.

* 40. Ἐς βόλον. ἀπὸ μεταφορᾶς τοῦ τόπου ἐν ᾧ εἰςβάλλουσιν οἱ πολέμιοι· πολέμιος γὰρ ὁ ἁλιεὺς τῶν ἰχθύων. K.

B. 43. ᾠδήκαντι. Ἀττικῶς ἢ Δωρικῶς, οἰδῶ, οἰδήσω, ἀντὶ τοῦ τετανυρισμένος ἢ πεφυσιωμένος ὢν καὶ ἐξωγκωμένος· οἰδῶ γὰρ τὸ ὀγκοῦμαι· ᾠδήκω, ᾠδήκημι, Αἰολικῶς.

A. 45. ἁλιτρύτοιο. τοῦ ἐν τῇ ἁλὶ τρυχομένου, ἤγουν πονουμένου κατὰ τὴν θάλασσαν. — * σαπροῦ ἁμαρτωλοῦ. K. ὑπὸ τῆς θαλάσσης δαμαζομένου. K.

A. 51. καθίξῃ. γράφεται καθιξεῖ, ἐπὶ κενοῖς καθίσει, ἀπὸ μεταφορᾶς ἀνύδρων τόπων.

A. 52. αὐτὰρ ὅγ' ἀνθερίκεσσι. ἀνθέρικες, αἱ τῶν ἀσταχύων προβολαί, τὰ ἄκρα· Ἡρόδοτος δὲ τοὺς καύλους φησὶ τῶν ἀσφοδέλων. — ἄλλως. ἀνθέρικ, ἡ τοῦ σίτου καλάμη ἀπὸ μέρους ἦν οἱ κοινοὶ καλαμαίαν φασί.

Gaisf. ἀνθέρικος, ὁ τῆς ἀσφοδέλου καρπός, ἧς τὰ φύλλα ὡς πράσου ἀγρίου, μείζω δὲ καὶ πλατύτερα· ὁ δὲ καυλὸς ἀνθέρικ καλεῖται, ὅσον πηχυαῖος ὢν καὶ μείζων· τὸ αὐτὸ δέ φησι καὶ Θεόφραστος.

Ἀπολλόδωρος δὲ ὁ Δωριεύς φησιν οὐ λέγεσθαι τὸν τῆς ἀσφοδέλου καυλόν· ὁ δὲ Νεοπτόλεμος γελοίως φήθη τὸν ἀθέρα τοῦ στάχυος.

* 52. ἀκριδοθήκαν ἤγουν κόφινον ἢ σπυρίδαν ἐν ᾗ ἀποτίθενται αἱ ὀπῶραι. M.

A. B. 53. μέλεται δέ οἱ. μέλει δὲ αὐτῷ οὔτε πήρας οὔτε λεπτότερον καὶ εὐτονώτερον. [A. ἀτονώτερον.]

* 55. ἄκανθος. ὁ λεγόμενος ἄγκανος διὰ τὸ ἀεὶ θάλλειν. M.

B. 57. πορθμεῖ Καλυδωνίῳ. Λοκροὶ τὰς συνθήκας. Ταῦτοι δέ εἰσι Λοκροὶ τοῖς Αἰολεῦσι· τὸ δὲ Καλυδώνιον ὄνομα κύριον.

* 67. Πίνδω. Πίνδου. ποταμὸς καὶ οὗτος Θετταλίας. M.

* 75. δαμάλαι. Πυλλαὶ δαμάλεις, ἤγουν ἀπειρόζυγοι βόες, αἱ μήπω ζυγῷ ὑποστᾶσαι αὐχένα καὶ πορείας ἀψάμεναι. M.

* 81. Πρίηπος. Πρίαπος υἱὸς Ἀδώνιδος, θεὸς ἀγροικικός. Q.

* 90. οἷα γελεῦντι. ὅπως γελῶσιν, [ἢ] μετὰ γέλωτος καὶ χαρᾶς χορεύουσιν. M.

* 96. ἔχοισα. κρατοῦσα. H. βαστάζουσα. P.

A. 97. λυγιξεῖν, ἤγουν λυγίσειν, καταπαλαίσειν τὸν ἔρωτα. ἡ μεταφορὰ ἀπὸ τῶν παλαιόντων.

* 103. ἔσσεται. ὑπάρξει αὐτῷ ἡ λύπη ἡ ἀπὸ τοῦ ἔρωτος. H.

B. 106. ὧδε κύπειρος. Ἐνθάδε ταπεινὴ βοτάνη ἀπεπαυμένος ὁ ἀὴρ καὶ οὐ δυνήσῃ λαθεῖν συνουσιάζουσα.

* 107. σμάνεσσι. σμήνεσσιν, ἐν τοῖς σίμβλοις· ἐκ τοῦ περιεχομένου τὸ περιέχον. M.

B. 110. πτῶκας. Τὰς αἰτιατικὰς οἱ Δωριεῖς τῶν εἰς ες λῆγουσῶν εὐθειῶν ὁμοίως ταῖς εὐθείαις παροξύνουσι.

* 113. μάχευ μοι. ἀλλὰ εἰ θέλεις συμμάχου μοι τῷ Διομήδει· ἢ ὁ Δάφνις πρὸς τὴν Ἀφροδίτην φησί. Q.

A. 115. ὦ λύκοι, ὦ θῶες, ὦ αἱ κατὰ τὰ ὄρη φωλεύουσαι ἄρκτοι, χαίρετε.

* 117. Ἀρέθοισα. πηγὴ ἐν Σικελίᾳ, ἐν ᾗ εἰσβάλλει ὁ Ἀλφειὸς ποταμὸς ἐξ Ἀρκαδίας, δυόμενος διὰ τῆς Ἀδριάδος θαλάσσης καὶ μὴ λυμαίνων τὸ γλυκὺ διὰ τοῦ ἁλμυροῦ. P.

* 118. Θύμβριδος. ὄνομα τόπου ἢ ποταμὸς Σικελίας. P.

* 125. Ἑλίκας. πηγῆς Ἄργους. M. τὰς συστροφάς. καὶ πηγὴ Ἄργους. P.

B. 128. φέρ' εὐπάκτοιο. οἱ μὲν κατὰ συναλοιφὴν φέρε, εἶτα εὐπήκτοιο τοῦ καλῶς πεπηγότος· οἱ δὲ ἐκπληροῦσι. φέρε δὴ ἀντὶ τοῦ λάμβανε, δηλονότι τὴν σύριγγα· μελίπνουν δὲ ἤδη ἡδύφωνον, ἤτοι ὀδωδυῖαν διὰ τὸν κηρόν.

* 129. ἑλικτάν. ἤγουν φέρε περὶ τὸ σὸν χεῖλος τὴν ἑλικτὴν ἐκ κηροῦ σύριγγα, ἤγουν τὴν ἀληλιμμένην ἐν κηρῷ. M.

* 133. ἀρκεύθοισι κομάσαι. ὁμοίως καὶ ἐνταῦθα κομάσαι ἀντὶ τοῦ κρύβηθι, τὸ εὐκτικὸν ἀντὶ προστακτικοῦ. Q.

B. 139. ἤθελ' ἀνορθῶσαι. Ἐν δευτέρῳ ζῶντα παραστῆναι.

* 139. *λίνα τῶν Μοιρῶν φησὶ τὰ κεκλωσμένα. οἷον τὰ κεκλωσμένα καὶ εἱμαρμένα ἐτελειοῦντο.* Q.

* 147. *Αἰγίλω. τοῦ ἀκρωτηρίου.* P.

B. 151. *Κισσαίθα. ἡ ταχεῖα αἴξ, ἀπὸ τοῦ ταχέως γεννᾷν· κισσῶ γὰρ τὸ γεννῶ. αἴθω δέ, τὸ καίω καὶ ἀνάπτω.*

ΕΙΔΥΛΛΙΟΝ β'.

A. Arg. s. f. *Σιμαῖθα ποιεῖται τὸν λόγον πρὸς τὴν δούλην.*

* *Δημητρίου τοῦ Τρικλινίου. Καὶ τὸ παρὸν εἰδύλλιον ἐκ στίχων σύγκειται δακτυλικῶν ἑξαμέτρων ἀκαταλήκτων ῥξξ' ὧν τελευταῖος· „Ἀστέρες. . . .“* M. — *τοῦ αὐτοῦ Μοσχοπούλου σχόλια.* M. J.

B. 1. *δάφναι. συνετέλουν γὰρ αἱ δάφναι ταῖς γοητρίαις τὰ πρὸς φιλίαν ὀτρύνοντα φάρμακα.*

* 1. *πᾷ· ποῦ, φησίν, αἱ δάφναι μου; φέρε, Θέστυλι, ἀντὶ τοῦ ἔνεγκαι αὐτάς. ποῦ δὲ τὰ φίλτρα; ἤγουν τὰ πρὸς φιλίαν ὀτρύνοντα φάρμακα.* M. J. — *Θέστυλι, τροφέ.*

A. 2. *ἄλλοι δὲ τὴν κεφαλὴν εἶναί φασι. Κελεύη, κόγχη ἢ λεκάνη, ἢ τοιοῦτον σκεῦος ἐν ᾧ δυνατὸν ῥίψασθαι πόδας. Ἐκ δ' ἔχεε κελεύης, μετὰ δ' ἂν κέρας ἐφύσατ' ἄλλο.*

* 2. *ἀώτῳ, ἀπανθίσματι, ἤτοι μαλλίοις προβάτου.* M.

* 4. *μοι. ἦλθεν ὧδε πρός με. τοῦτο γὰρ τὸ μοι.* M.

* 7. *ᾤχετ' ἔχων. ἤγουν τὰς φρένας αὐτοῦ λαβὼν ὁ ἔρως, ᾤχετο ἀλλαχοῦ, ἀπῆλθεν.* M.

* 8. *Τιμαγήτοιο, ὄνομα τόπου.* H.

* 10. *Θυέων*. τουτέστι διὰ τῶν ἐν τῷ ποτηρίῳ καιομένων φαρμάκων, καταθύσομαι καὶ καταγοητεύσω. M.

B. 12. *χθονίαν δὲ τὴν Ἑκάτην φησὶ παρόσον Περσεφόνης τροφός, ἢ παρόσον πρυτανείαν αὐτὴν κέκληκεν.*

A. 16. *Μήδεια.* Suidas s. v.

A. 17. *Ἰυγξ.* Suidas s. v. — Post *μαγείας*, B: *εἰ γὰρ τροχὸν κηρὸν ἐμβαλοῦσαι καὶ δι' αἵματος ἑκατέρωθεν ἀνάψασαι, τοῦτο περιστρέφουσαι ῥομβοῦσι τὸν κυκλίσκον ὑπὲρ πυρίας, ἐπᾴδουσαι ὃ βούλονται. ὁ δὲ ἀναδυνούμενος ἡσύχως, τήκεται. ἐπιλέγουσιν αὐτῷ εἰ τύχῃ, ὡς οὗτος τήκεται ὁ ῥόμβος, οὕτω καὶ ὁ ἐμοῦ ἐρῶν τακείη. ἄλλως· λέγουσι . . . . —*

B. 24. *Ἡ δάφνη ψοφεῖ αἰθομένη καὶ ἐστὶν ἡ δάφνη ἐν τῷ καίεσθαι.*

B. 26. *Οὕτω. ὥσπερ ἡ δάφνη ἡ πυρωθεῖσα καθάπαξ ἠφάνισται, οὕτω καὶ ὁ Δέλφις ἐν φλογὶ τοῦ ἔρωτος διαφθαρείη τὸ σῶμα.*

* 29. *Μύνδιος. ὁ ἐκ Μύνδης πόλεως, ὁ ἀπὸ τόπου.* M.

A. 30. cf. adn. critic.

* 30. *ἐξ Ἀφροδίτας. ὁ ἐκ τῆς δυνάμεως τῆς Ἀφροδίτης κατεσκευασμένος.* M. — *ῥόμβος ὁ στρογγυλοειδὴς λίθος, ὁ τροχός.* P.

A. 31. *θύρησιν ἀντὶ τοῦ· παρὰ ταῖς ἐμαῖς θύραις.*

* 33. *Ἄρτεμι. Ἄρτεμις ἡ αὐτὴ τῇ Σελήνῃ.* E.

A. 38. *ἀήτης* (sic). *ὁ ἄνεμος καὶ ὥσπερ ἀπὸ τοῦ ἠγήσω ἠγητής, ποιήσω ποιητής, οὕτως ἀπὸ τοῦ ἄω, ἀήσω, ἀητής* (sic) *καὶ ἄημα, ἡ πνοὴ τοῦ ἀνέμου.*

* 43. *ἀποσπένδω. ἐπὶ τοῦ πυρὸς οἶνον ἤ τι τοιοῦτο χέουσα τοῦτό φησι.* M.

B. 48. *Ἱππομανές . . . . . διὸ καὶ οὗτός φησιν ἱππομανές. ἄλλως. Ἱππ. φυτόν. οὔτε φυτόν ἐστιν, οὔτε ἐν Ἀρκαδίᾳ γινόμενον· ἀλλὰ τὸ ἐπιφυόμενον τοῖς πώλοις*

κατὰ γένεσιν ἐπὶ τοῦ μετώπου, ὅπερ συνεργεῖ πρὸς φίλτρα, ὡς Ἀριστοτέλης.

B. 50. ὡς καὶ Δέλφιν ἴδοιμι. ἀπὸ κοινοῦ τὸ μαινόμενον, ὡς καὶ ἵπποι μαίνονται ἔχοντός τινος τὸ ἱπποµανές.

* 51. λιπαρᾶς. διὰ τὸ ἐλαίῳ ἀλείφεσθαι τοὺς παλαίοντας. M.

B. 53. Τοῦτ' ἀπὸ τᾶς χλαίνας. Τοῦτο, φησί, παραδιδοῦσα πυρὶ καὶ ἄκοντα διὰ τὰς μαγγανείας ἐλθεῖν ἀναγκάζω.

B. 54. ὠγὼ νῦν τίλλοισα. ἤγουν ἀφ' οὗ ἐγώ, ἤγουν ὃ ἐγὼ κατατίλλουσα. τὸ ὃ καὶ τὸ ἐ εἰς ω̄ μέγα κιρνᾶται.

B. 55. αἰαῖ ἔρως. δακνομένη ὑπὸ τοῦ ἔρωτος ἀπέστρεψε τὸν λόγον πρὸς αὐτόν· ἀνιηρὲς δέ, ἀντὶ τοῦ ἀνιαροποιέ.

* 56. βδέλλα. βδέλλα ἀπὸ τοῦ βδάλλω τὸ ἀμέλγω, ἐξ οὗ καὶ νεόβδαλτον γάλα τὸ νεωστὶ ἀμελχθέν. M.

B. 59. νῦν δὲ λαβοῖσα. Καὶ νῦν λαβοῦσα ταῦτα τὰ φάρμακα ζήμωσον καὶ κρύψον ὑπὸ τὴν αὐτὴν εἰλοιὰν καὶ λέγε ἐφαπλοῦσα περὶ τῶν Δέλφιδος ἀχέων.

* 59. θρόνα. ἢ ζῶα, ἢ ἀνθινὰ ἱμάτια, ἢ ῥόδα, ἢ φάρμακα. E.

B. 65. τίς μοι κακὸν ἄραγε (sic.) ὡς πολλῶν ὄντων τῶν περὶ αὐτὴν κακῶν.

A. 66. Καννηφόρος. Suidas s. v. [Sch. G. φιλόκαρφος pro Φιλόζορος.]

B. 67. Τᾷ δὴ τόκα πολλὰ μὲν ἄλλα. Ἐν τῇ πομπῇ, φησίν, ἄλλα τε θηρία ἐπόμπευσε καὶ λέαινα.

B. 69. φράζεό μευ τὸν ἔρωθ' ὅθεν. Πρὸς τὴν σελήνην καὶ τὴν Ἑκάτην φησί. ταύτας γὰρ συνέργους εἰς τὴν παρὰ ἐρωμένου φαρμακείαν παραλαμβάνει· τὴν δὲ τῶν φαρμάκων (sic.) ὑπόθεσιν ἐκ τῶν Εὐφορίωνος Μίμων μεταφέρει.

B. 70. ἀ μακαρῖτις. ὡς μεταλλαχυίας τὸν βίον ἤδη.

B. 71. κατεύξατο. σημαίνει δὲ τὸ ὤρκωσε· φησὶ δὲ ὅτι προετράπη ὑπὸ τῆς τροφοῦ εἰς θέαν ἐλθεῖν τῆς πομπῆς καὶ οὕτω συμβέβηκεν ἰδεῖν με τὸν Δέλφιν.

B. 72. ἀ μεγάλοιτος .... οἵτος γὰρ οὐ μόνον ὁ θάνατος, ἀλλὰ καὶ τὸ δεινὸν ἐν ᾧ ἄδεται· μεγάλοιτος οὖν ἡ μεγάλως ἀθλία καὶ δυστυχής. Τοῦτό φησιν ὅτι ἐπείσθην προελθεῖν τὴν θέαν.

A. 73. βυσσὸν βάθος, ὀξυτόνως· βύσσον βαρυτόνως βαφὴν ἐκ πορφύρας καὶ βυσσὸς ὁ βυθὸς παρὰ Ἡροδότῳ. — ξύστις ἀττικῶς, ξυστίς δὲ κοινῶς, χιτὼν ποδήρης γυναικεῖος. οἱ δὲ καὶ τραγικὸν ἔνδυμα, οἱ δὲ κροκωτὸν ἱμάτιον ὃ οἱ ἡνίοχοι φέρουσιν. Byssinum mulierum maximis deliciis circa Elim in Achaïa genitum quaternis denariis stipula eius permutata quondam ut auxi. 53. Suydas. Βύσσον τῆς πορφύρας φησὶν καὶ βύσσινον πόρφυρε λέγει. Melius est quod sit linum subtilissimum.

B. 74. Κἀμφιστειλαμένα. περιστειλαμένη, ἀντὶ τοῦ ἀναλαμβανομένη, ὅ ἐστι ζωσαμένη.

* 76. ἀμαξιτόν. διὰ μέσης τῆς ὁδοῦ τῆς χωρούσης ἅμαξαν. ἡ καὶ λεωφόρος. C.

B. 80. ὡς ἀπὸ γυμνασίοιο καλόν. ὑγιεινὸν γάρ ἐστιν ἡ παλαίστρα· πόνον δέ, τὴν ἐν τῇ παλαίστρᾳ γυμνασίαν νῦν.

A. 82. Καὶ οὕτως ὡς εἶδον. (sic) ἤγουν αὐτίκα ὡς εἶδον· ἐπίτασιν ἔχει τὸ ὡς ἐν τούτοις. — περὶ θυμὸς ἰάφθη. περισσῶς πάνυ ἔπαθεν ἡ ψυχή μου τῆς ἀθλίας.

* 85. καπυρά. ἰσχυρὰ καὶ διάπυρος ὑπὸ τοῦ ἔρωτος δηλονότι. E. — ἐξαλάπαξεν. ἠφάνισε τὴν γνώμην μου, διέσυρεν. H.

A. 91. ἅτις ἐπᾷδεν. ἤγουν ἐπῳδαῖς ἠπίστατο χρῆσθαι· ἀλλ' οὐδὲν ἐκ τῶν ἐπῳδῶν εὗρόν τινα κουφισμόν· ὁ δὲ χρόνος παρέτρεχεν.

* 92. ἄνυτο. ἠνύετο, ἐξήρχετο ῥέων, λανθάνων. οἱ γὰρ φεύγοντες λανθάνουσι. M.

B. 101. Τὰ τάδε (sic) εἰ μὲν περισπᾶται, ἔστιν ἀντὶ τοῦ, ἠγεμόνευε τῇδε καὶ ταύτῃ τῇ ὁδῷ· εἰ δ' ὀξύνεται, ἀντὶ τοῦ, ἀφηγοῦ καὶ διῆγε τάδε καὶ ταῦτα.

* 109. κνυζεῦνται. ἤγουν ἀποτελοῦσι τὰ τέκνα φωνοῦντα πρὸς φίλην μητέρα. P.

B. 110. δαγύδας (sic), ἤγουν Ἀφροδίτης ἀπεικόνισμα λίθινον. — A. δαγύδας Ἀφροδίτας. — * δαγῦδι. κρυστάλλῳ, ἢ κεφαλοδεσμίῳ, ἢ εἰκονίσματι Ἀφροδίτης. G. — τῷ εἰδώλῳ. E.

* 112. ὥστοργος, ὁ σκληρός, ὁ ἄστοργος εἰς φιλίαν καὶ ἀβέβαιος. M.

* 114. ἔφθασας. ἐνταῦθα σύναπτε τὸ καλέσασα. M.

* 120. Διωνύσοιο. ἀπὸ τόπου τινὸς τῷ Διονύσῳ ἀνατεθειμένου. E.

B. 123. πορφυρέῃσι περιζωστρῇσι. πορφυροῖς λιμνίσκοις καὶ ταννίαις περιειλημμένον ἔχων τὸν τῆς λεύκης στέφανον.

B. 124. Καί μ' εἰ μέν κ' ἐδέχεσθε. Καὶ εἰ μὲν ἐδέχεσθέ με, ἐκάθευδον ἂν ἀρκούμενος, καὶ εἰ μόνον τὸ στόμα ἐφίλησα καὶ ταῦτα ἂν καλῶς εἶχεν ἡμῖν· ἄριστος γὰρ τῶν ἡλικιωτῶν εἰμί. εἰ δὲ ἀπώσασθε, τότε ἂν τὴν βίαν προσῆγον.

* 128. Πάντως. ὁ στίχος δολίχουρος. J.

A. 131. ἐκ πυρὸς εἵλευ. ἐκ τοῦ πυρὸς τοῦ ἔρωτος ἐξείλου, ἐξήγαγες.

* 140. πεπαίνετο. ἐκ τῆς τοῦ ἔρωτος δριμύτητος πρὸς μαλακότητα ἦλθεν· ἐμαλακίζετο. M.

* 141. ἐψιθυρίσθομες, ἡσυχῶς διελεγόμεθα ἀλλήλοις καὶ μεθ' ἡδονῆς. N.

B. 144. κοὔτέ τι τῆνος. Καὶ οὐδὲν ἀλλήλοις ἐνεκαλέσαμεν. ἀλλ' ἦλθέ μοι, φησί, περὶ τὸ ὄρθρον ἡ

Μελιξοῦς καὶ Φιλήτας ἡ τῆς ἐμῆς αὐλητρίδος μήτηρ καὶ εἶπεν ὅτι Δέλφις ἐρᾷ.

* 148. ῥοδόπαχυν. τὴν ῥοδόπηχυν, ἤγουν τὴν ῥοδόχειρα, τὴν λευκήν, ἣν Ὅμηρος ῥοδοδάκτυλον λέγει. M. διὰ τὸ ῥόδα ἔχειν κατὰ τὸν ἀέρα. P.

B. 149. Κεἶπέ μοι τοῦτο μόνον ὅτι ὁ Δέλφις ἐν συμποσίῳ τοῦ ἐρωμένου χάριν σκύφον συνεχῶς ἀκράτου ἐπεχεῖτο καὶ τέλος καταλιπὼν τὸ συμπόσιον ᾤχετο λέγων στεφανώσειν αὐτοῦ τὸν οἶκον· εἰώθασι γὰρ οἱ ἐρῶντες χάριν τῶν ἐρωμένων κυάθους πλείονας ἐπιχεῖσθαι. τὸν γὰρ ἐρώμενον ὁ ἐρασθεὶς τοῖς ἐκ τοῦ δαιτυμόνος διδομένοις ἀγγείοις οἶνον ἔβαλεν· ἀτὰρ τόσον αἰὲν ἔρωτος· ἀκράτως ὑπὸ ἔρωτος κατείχετο καὶ ἔφυγέ σε, καὶ εἶπε, φησί, ἀγγείλασα τοῦτο μόνον ὅτι ὁ Δέλφις ἐν σ. τοῦ ἐρ. χ. κυάθου σ. ἀκράτου ἐπεχεῖτο .... οἶκον. Καλλίμαχος .... Cf. Gaisf.

* 156. τὰν δωρίδα. διότι οἱ Δωριεῖς ἐφεῦρον αὐτήν. H.

* 158. τερπνὸν ἔχει. ἤγουν καλλίονα γυναῖκα τέρψιν αὐτῷ ἐμποιοῦν. M.

B. 159. αἰ δ' ἔτι κἠμέ. Ἐὰν δέ τί με λυπῇ, κρούσει τὴν Ἅιδου πύλην, τουτέστι, καταχειριοῦμαι αὐτόν.

* 164. ὑπέσταν ἤγουν ὥσπερ καὶ μέχρι τοῦ νῦν ὑπέμεινα, ἀνεδεξάμην αὐτόν. M.

A. 166. Νυκτὸς ὀπαδοί. δοκοῦσι γὰρ οἱ ἀστέρες ἀκολουθεῖν τῇ νυκτί· ἀπελθούσης γὰρ τῆς νυκτὸς οὐκέτι φαίνονται. — B. ὦ ἀστέρες, εὐκήλου νυκτὸς κατ' ἄντυγα ὀπαδοί, τουτέστιν ἀκολουθοῦντες .... φησί· λέγει δὲ τὴν νύκτα ἐφ' ἅρματος ὀχεῖσθαι. — * ἄντυγα τὸ τοῦ οὐρανοῦ ἡμισφαίριον, ἢ τῆς Σελήνης τὸ ἅρμα. M.

ΕΙΔΥΛΛΙΟΝ γ'.

Tit. A. *Κῶσμος δωρίδι* — Cetera ut apd. Call. — * *Δημητρίου τοῦ Τρικλινίου.* — *Καὶ τὸ παρὸν εἰδύλλιον σύγκειται ἐκ στίχων δακτυλικῶν τριμέτρων ἀκαταλήκτων νδ', ὧν τελευταῖος· »ὡς μέλι.«*

B. 5. *Κνάκωνα· λευκὸν ἦπυρον ἀπὸ τοῦ κνήκους τοῦ σπέρματος.*

B. 10. *ἠνί ἀντὶ τοῦ ἰδοῦ· καὶ δασύνεται τὸ ἡ μετὰ τοῦ ὀξυτόνου καὶ παρ' Ἀττικοῖς τοῦτο προφερόμεθα.*

* 13. *ἄντρον, εἰς τὸ σὸν σπήλαιον δυνηθείην ἀφικέσθαι καὶ ἐλθεῖν.* M.

* 17. *ἐς ὀστέον.* Ὅς με βλάπτει ὁ ἔρως καὶ μέχρι τοῦ ὀστοῦ καταφλέγων. P. — *λάπτει, ἐμβάλλει ἑαυτόν, ἀπὸ τοῦ ἴημι τὸ πορεύομαι.* M.

* 20. *τέρψις, ἡδονήν, εὐφροσύνην ἔχουσα· συστέλλεται διὰ τὸ μέτρον τὸ ῑ.* M.

* 21. *κατ' αὐτίκα. σύναπτε τὴν κατὰ εἰς τὸ τῖλαι. περισσὴ ἡ κατά. νῦν εὐθὺς καὶ οὐκ εἰς ἀναβολάς.* M.

* 22. *κισσοῖο. τοῦτο πρὸς τὸ καλύκεσσι σύναπτε.* M.

A. 23. *Κάλυξ, ἄνθος ῥόδιόν ἐστι· σέλινον, εἶδος φυτοῦ ἢ μᾶλλον εἰπεῖν λαχάνου. σελίνου στέφανος πένθιμος ἦν. τὸ γὰρ σέλινον πένθεσι προσή[κει].*

B. 27. *Τόγε μὰν τεόν. τό γέ σοι, ἤγουν παρά σοι ἡδὺ τὸ θανεῖν ἄτιμος· ἤσθης γὰρ ὅτι ἐκινδύνευσα, ἢ ὅτι ἡδύ [σοὶ] ἐστι τὸ θανεῖν με. — * τέτυκται τὸ σὸν κατεσκευάσθη, ἐγένετο, ἤγουν εὐφραν θήσῃ ἐπὶ τούτῳ.* M.

B. 29. *οὐδὲ τὸ τηλέφιλλον.* Post πλατάγημα δὲ τὸ πλ. schol.: *ἔστι δὲ τὸ τῆς μήκωνος φύλλον ὅ τι θέντες κατὰ τὴν ἀντίχειρα καὶ τὸν λιχανὸν δάκτυλον τύπτουσι τῇ δεξιᾷ ὥστε πλατάσσειν.*

B. 32. παραιβάτης [sic]. ἢ ὄνομα κύριον, ἢ ἡ παροδίτις, ἢ παραπορευομένη θεὸς ἢ ἔριδος.

* 33. ἔγκειμαι. τῷ σῷ ἔρωτι διόλου ἐμμένω· σὺ δὲ οὐδεμίαν φροντίδα ἐμοῦ ποιῇ. M.

* 36. ἐπεὶ τύ μοι. διότι σὺ πρὸς ἐμὲ ἀκκίζῃ, τὸ κοινῶς καναχίζῃ. P.

A. 40. Ἱππομένης ὅκα δὴ τὰν π. Ἐντεῦθεν ἄρχεται τῆς ᾠδῆς. ὄνομα κύριόν ἐστι, σημαίνει δὲ τὸν μεγάλως μαινόμενον. — B. ἐγκρατὴς ἐγένετο Ἱππομένης ὁ Ἄρεος τῆς Ἀταλάντης μῆλα χρυσᾶ λαβὼν παρ' Ἀφροδίτης ἐκ τῶν Ἑσπερίδων κήπου. —

B. 42. ὡς εἶδεν. ὅτε εἶδεν τὰ μῆλα αὐτοῦ ἠράσθη.

42. Ἀταλάντη, ἡ Σχοινέως, ταχεῖα τοὺς πόδας οὖσα, προέθετο τὸν αὐτῆς γάμον ἔπαθλον τῷ νικήσαντι ταύτην, τὸν γὰρ νικηθέντα λόγος ἦν ἀναιρεῖσθαι. Ἱππομένης δέ, ὁ Ἄρεος, ἔρωτα ταύτης λαβὼν καὶ σύνεργον τὴν Ἀφροδίτην κτησάμενος, μῆλα χρυσᾶ τοῦ τῶν Ἑσπερίδων κήπου παρ' αὐτῆς ἔλαβε καὶ τὸν δρόμον ἀνύων εἰς μέσον αὐτὰ ἔριπτε, καὶ τῆς Ἀταλάντης ἐπὶ τῇ συλλογῇ τῶν μήλων ἀσχολουμένης τὸν δρόμον ἀνύσας αὐτὸς ἐνίκησε καὶ εἰς γυναῖκα ταύτην ἀνηγάγετο.

B. 43. Χὠ μάντις ἀπ' Ὄθρυος. Καὶ ὁ Μελάμπους ἦγε τὴν Ἰφίκλου ἀγέλην Νηλεῖ εἰς Πύλον, ἵνα ἄγηται τῷ ἀδελφῷ τὴν Πειρὼ ἥτις ἔτεκεν Ἀλφεσίβοιαν, μητέρα Μελάμποδος ἴσως ἑτέρου.

* 48. ἄτερ μασθοῖο. Χωρὶς τοῦ μάζου αὐτῆς, ἤγουν τῶν στέρνων· οὕτω γὰρ ἐν γραφῇ τινὶ ἦν ἐζωγραφημένη. M.

A. 50. Ἐνδυμίων φασὶ.... ἐν Λάτμῳ τῆς Καρίας ἄντρῳ· οἵδε φασὶν φιλοκύνηγος ὤν, ἡμέρας μὲν ὕπνωττε, νύκτας δὲ συνῆν τῇ Σελήνῃ. — [Ἰασίωνα] ἐρασθείσῃ αὐτῷ κειμένῳ συνῆλθε Δημήτηρ καὶ τὸν Πλοῦτον ἔτεκεν.

ΕΙΔΥΛΛΙΟΝ δ'.

* 1. *Δημητρίου τοῦ Τρικλινίου. Συνίσταται καὶ τὸ παρὸν εἰδύλλιον ἐκ στίχων δακτυλικῶν ἐξαμέτρων ἀναταλήκτων ξγ'. ὧν τελευταῖος.* »*Ἐγγύθεν....*« **M.**

B. 3. *ψε. Τὸ ψε οἱ Δωριεῖς ἀντὶ τοῦ σφε λέγουσιν, ἤτοι ποῦ ψε, τουτέστι ποῦ αὐτὰς ἀφ' ἑσπέρας ἀμέλγεις.*

A. 4. *κήμὲ φυλάσσει. παρατηρεῖ μὴ ἀμέλγειν τὰς βοῦς· οὐδαμῶς ἀμέλγω δηλαδή· ὁ γὰρ γέρων ὁ πατὴρ τοῦ Λίγωνος ὑποκάτω ἴησι καὶ πέμπει τὰ μόσχια τὰ ἴδια καὶ παρατηρεῖ ἐμέ· καλλίστως τίθησιν ἐνταῦθα τὸ ὑφίησιν ἀντὶ τοῦ ὑποκάτω βάλλει.*

* 6. *Ἐπ' Ἀλφεόν. ποταμὸς Θετταλίας.* **M.** *ἦγουν εἰς τὸν ὀλυμπικὸν ἀγῶνα· περὶ γὰρ τὸν τόπον ἐν ᾧ ἐτέλειτο ὁ ἀγὼν παρέῤῥει ὁ Ἀλφειός.* **E.** *– ἀλφεόν. Πίσσαν.* **C.**

* 7. *πύκα. ἀντὶ τοῦ εἰπεῖν, καὶ πότε ἐκεῖνος οἶδε παλαίειν; ἔφη, πότε εἶδεν ἔλαιον; ᾧ ἐχρίοντο δηλονότι οἱ παλαίοντες.* **E.**

B. 8. *βίην καὶ κάρτος. γράφεται καὶ κάλλος· καὶ κάλλιον, ἵνα μὴ δισσολογήσῃ, βίην καὶ κάρτος λέγων.*

A. 9. *Κἤμ'... κατὰ τὴν ἰσχύν, ἤγουν ἰσχυρότερον· οὗτος ἦν πύκτης ἄριστος.*

B. 10. *Μῆλα δὲ θρέμματα λέγει καὶ τούτων τὰ κρέα, ἵνα ἔχει κρέα φαγεῖν· οἱ γὰρ.... —*

B. 15. *Τήνας μὲν δή τοι. τῆς ἀκμαζούσης βοός, ἐφ' ἧς οἴονται τοὺς ταύρους ἀτείλεσθαι, ἤτῆς ἐν τῷ πόρῳ, τουτέστιν, ἐν τῇ ὁδῷ ἰούσης.*

B. 16. *πρῶκας... Καὶ Καλλίμαχος· ὡς κεν.... πεσοῦνται προίκιον ἐνδίκης ἕρως εἶδαρ ἔων.*

B. 18. *Κώμυθα ὡς Καρτῖνος· ὁ δὲ μετ' εὐδήμου τρέχων κώμυθος τὴν λοιπὴν ἔχων τῶν πρώων.*

* 19. *Λάτυμνον*. περὶ τὸ *Λάτυμνον*· ὄρος Λακωνικόν. E.

B. 22. *Τᾷ Ἥρᾳ τοιόντε*. Ἰστέον ὅτι νομὰς εἶχεν οὗτος ὁ τόπος βουσὶν ἐπιτηδειοτάτας.

* 27. *νίκας*. ἤγουν εἰς κακὸν ἀποβαίνουσαν ἐπεθύμησας νίκην νικῆσαι. M.

* 31. *Πύῤῥω*. μέλη τοῦ *Πύῤῥου*. M.

B. 38. *Ἀμαρυλλί*. Ταῦτά φησιν ἀναμνησθεὶς τοῦ ἔρωτος τῆς Ἀμαρυλλίδος.

A. 45. *Θαλλὸς* λέγεται ἰδίως ὁ τῆς ἐλαίας κλάδος, *θύρσος* δὲ ἁπλῶς ὁ ἀπαλὸς κλάδος.

B. 48. *ᾇδε περισπαστέον*· δεικτικῶς γάρ ποτε καὶ βαρύνεται κατὰ τὸ διάφορον.

B. 49. *ἦ εἴη Βάττος* περὶ λίμνη.

B. 51. Ἰστέον ὅτι κατὰ τὸ σιωπώμενον ἀπῆλθεν ὁ Βάττος διῶξαι τὰς βόας, καὶ ἀπερχόμενος ἐπάτησεν ἄκανθαν.

* 51. *σφυρόν*· ὑπὸ τὸν ἀστράγαλον, ἢ εἰς τὸ πέλμα τοῦ ποδός. M.

B. 55. *Ἤ ἄλλως*· τὸ ἡλικόν ἐπίῤῥημα, ἵν' ᾖ, ὁσσίχον τὸ τύμμα καὶ ὁποίως τὸν ἄνδρα δαμάζει.

* 56. *ἀνάλιπος*. Ὁ ἀνυπόδητος, ἀπὸ τοῦ α στερητικοῦ καὶ τοῦ ἦλιψ, ὅ ἐστιν εἶδος ὑποδήματος. [Ab. apd. Gail. lit. Ms.]

A. 59. *ἐρωτίδα*. ἤγουν τὴν ἐρωτικήν, ἧς ἕνεκά ποτε ἐρωτικὸν ἔσχε πάθος. — * ἢ τὴν ἐρωμένην, ἢ καὶ ὡς ὄνομα κύριον. E.

* 60. *ἀκμάν*. τουτέστι μέχρι τοῦ νῦν χρῆται τοῖς ἀφροδισίοις. E.

A. 62. *Σατυρίσκοις* ἐρίζει ἤγουν ἀμιλλᾶται ἀπὸ τοῦ πλησίου ἢ πασὶ κακοκνήμοις. *Σάτυροι*· οὗτοι μὲν ἐπίφοροι.... —

ΕΙΔΥΛΛΙΟΝ ε'.

Arg. B. δραματικώτερον δέ ἐστι τὸ εἰδύλλιον· ὁδοίπορος ἐν Δωρίδι· Κ. καὶ Λ. προλογίζει δὲ ὁ Κομ. — * Ἰστέον ὅτι καὶ ἐν τῷ παρόντι εἰδυλλίῳ δωρίδι κέχρηται Θεόκριτος διαλέκτῳ. M. * Δημητρίου τοῦ Τρικλινίου· Τὸ παρὸν εἰδύλλιον σύγκειται καὶ αὐτὸ ἐκ στίχων δακτυλικῶν ἑξαμέτρων ἀκαταλήκτων ρν', ὧν τελευταῖος· »αἰ μή τυ φλ.« M.

B. 1. τὸν Συβαρίταν... Συβάρεως ποταμοῦ. Ἐστὶ δὲ αὐτὴ πόλις τῆς Ἰταλίας ἄποικος νῦν καλουμένη Θούριον· Τινὲς τὸ αὐτὸ Θούριον καὶ Συβαρίτην καλοῦσι· λέγεται δὲ ὅτι ὑπὸ τῶν Κρ.

* 1. Ἰστέον ὅτι αὕτη ἡ Σύβαρις καὶ Θούριον καλεῖται ἀπό τινος Νηρηΐδος Θουρίας. Q.

A. 2. νάκος ἡ τῶν προβάτων καὶ αἰγῶν δορά· λέγεται δὲ καὶ περὶ ἀρσενικοῦ καὶ θηλυκοῦ καὶ οὐδετέρου· ὥσπερ βλάβος καὶ βλάβη.

B. 3. Τὸ δὲ ἀμνίδες προβάτια, μάλιστα δὲ τὰ μικρά. — οὐκ ἐσορῆτε· ἀντὶ τοῦ εἰςορᾶτε παρακέλευσις, τουτέστιν, ἀπόστητε.

* 6. Κορύδωνι. οὗτος ἄμουσος ἦν ποιμὴν καὶ δοῦλος. M.

B. 7. ποππύσδεν..... φυσσᾶν καὶ διὰ τὸ ἀρκεῖν αὐλεῖν ὡς οἱ παῖδες. Τοῦτο δὲ... — * κολακεύειν η λαλεῖν κολακευτικῶς. K.

A. 10. ἦν τοι ἐνεύδειν. ἦν νάκος ὥστε εὕδειν, ἦγουν ἀνακαύεσθαι ἐν αὐτῷ. — B. ἦγουν δέρματι διότι τι δέρμα μοι ἐχαρίσατο.

A. 13. λοίσθια. ἐπιῤῥηματικῶς ἀντὶ τοῦ τελευταῖον.

* 14. ἄκτιον. Τὸν ἐπὶ τοῖς ἀκταῖς πορευόμενον. C.

B. 15. ἢ κατὰ τήνας. γράφουσιν αὐτό τινες καὶ ἤ, ἵν' ἦ οὐκ ἔλαβον αὐτὴν ἢ εἰ ἀφεῖλον φθαροίμην. —

A. [Post Phil. loc.] : *Ἔχει δὲ τὸ πᾶν οὕτως· ἢ εἰ τοῦτο ἐποίησα, κατακρημνισθείην ἐκείνης τῆς πέτρας, ὦ ἄνθρωπε, εἰς τὸν Κρᾶθιν μανείς.* — B. *Κρᾶθις δὲ καὶ Σύβαρις ποταμοὶ περὶ Σύβαριν· ὁ N. καὶ Θ. φασι τοῦ Κράθιδος τὸ ὕδωρ ξανθίζειν· ἢ ποταμὸς Κρότωνος· οὗτος δὲ Ἰταλίας. ἡ δὲ κατά, ἀντὶ τοῦ ἀπό.*

B. 26. [*Παροιμία ἐστίν· τίς ἀντὶ τοῦ ἀρνοῦ ἔριφον ἔλαβεν;* Q.] *κύνα δὲ τὸ πρόβατον εἶπεν, ἴσως ἐκφαυλίζων αὐτό. Τὸ δὲ δήλεται ἀντὶ τοῦ βούλεται· οὕτω γὰρ οἱ Δωριεῖς φασί.* — *κακὰν κύνα. λυμιράν.*

* 29. *Σφάξ. Παροιμία ἐπὶ τῶν ἐλαττόνων ἐριζόντων πρὸς κρείττονας.* M.

B. 31. *μὴ σπεῦδ'· οὐ γάρ τι. μὴ ἐπείγου, ὥσπερ ὑπὸ φλογὸς καιόμενος· παροιμία· μὴ σπεῦδε, οὐ γὰρ ἐπὶ πυρὸς βέβηκας· τὸ δὲ πυρὶ θάλπεαι ἀντὶ τοῦ οὐκέτι πυρὶ βέβλησαι.* — * *σπεῦδ' ἀμεταβάτως ἐνταῦθα. ἔστι γὰρ καὶ σπεύδω ἕτερον ἀντὶ τοῦ ἐπισπεύδω.* E.

* 40. *ἀπρεπές. ἐξουδενωμένον καὶ εὐτελὲς οὕτως, ἤγουν ἐν οὐδεμιᾷ χρείᾳ.* M. *αὕτως. καὶ οὕτως ὡς διϊσχυρίζῃ δηλονότι διδάξαι με.* E.

B. 41. *ἄλγεες. ἀντὶ τοῦ ἐδόκεις μὲν ἀλγεῖν, μᾶλλον δὲ ἡδύνου· καὶ γὰρ ἴδιον τοῦτο τῶν συνουσιαζομένων ἐστίν.*

B. 43.... *πεπύγισμαι. ἄλλως. ἤτοι οὐκ ἔδωκάς μοι πυγίσματα, μὴ δὲ ταφείης, ὦ κυρτέ.* — * *οἰφέ ἤγουν πόρνε· οἰφὸς γὰρ καὶ τὸ αἰδοῖον.* M. *ὅθεν ὁ φιλοίφας ἄνω εἴρηται.* A.

* 49. *κώνους. κῶνος ὁ τῆς πίτυος καρπός.* K. *στροβίλους, τὰ κοινῶς κωκωνάρια.* M.

B. 51. *ὕπνω μαλακώτερα. Τὰ μαλακώτερα ἐν καίρῳ τοῦ ὕπνου· τοιοῦτον γὰρ τὸ χρῆμα ὁ ὕπνος.*

* 55. *πτέριν. βοτάνη οὕτω καλουμένη ἐοικυῖα πτερῷ.* M. [Cf. Jd. III. 14.]

* 56. *ὑπεσσεῖται. ἀντὶ τοῦ ὑποστρώματα εἶεν τῶν*

χιμαιρῶν, ητοι τῶν αἰγῶν, τὰ δέρματα. L. — δέρματα, τῶν ἀρνείων δερμάτων, τῶν παρὰ σοί, καταπολὺ μαλακώτερα. M.

B. 58. γαῦλος, εἶδος πλοίου. γαυλός, ἀγγεῖον. — A. γαυλοὶ λέγονται τὰ ξύλινα ἀγγεῖα ἐν οἷς τὸ γάλα ἀμέλγουσιν.

B. 59. ἐχοίσας. ἀντὶ τοῦ, κηρία μέλιτος πλήρη ὄντα.

* 60. αὐτόθε. ἐξ αὐτοῦ μοι ἔριζε, καὶ ἐξ αὐτοῦ βουκολιάζου· βουκολιάζω δὲ ἐστὶ τὸ κατὰ βουκόλους ᾄδω. M.

* 64. βωστρήσομες. διὰ τὸ μέτρον μικρὸν ἐγράφη τὸ σο. M.

B. 73. ὀρῆς φίλε τῶ Συβαρίτα. Τὴν Θουρίαν ταύτην φασὶν εἶναι τῇ Συβάρει· ἄλλος ἑτέραν καὶ ἑτέραν. — * τὴν Θεωρίαν ταύτην φ. ε. τῷ Συβάρτᾳ· ἄλλοι ἑτέραν καὶ ἑτέρᾳ. L.

* 79. ζῶντ' ἄφες. μὴ ὑπὸ τῆς σῆς εὐμουσίας νεκρωθῇ ὡς ὑπὸ Σειρήνων· τοῦτο δὲ κατ' εἰρωνείαν. M.

* 84. διδυματόκος. ἐκβάλλεται τὸ ῡ διὰ τὸ μέτρον. M.

B. 85. ποθορεῦσα. αἰολικόν· ὤφειλε γὰρ ὤφησα διὰ τοῦ η τῆς δευτέρας συζυγίας.

* 86. φεῦ. ὡς σμικρύνων τὸν τοῦ Κομάτα λόγον λέγει τοῦτο. E.

* 87. τὸν ἄναβον. Τοῦτο διασσῶς μὲν κατὰ τὸ φαινόμενον ἔστιν ἡ σύνταξις οὕτω· καὶ τὸν ἄναβον παῖδα, ἤγουν τὸν Κρατίδαν, μολύνει καὶ χρίει κατὰ τὰ χείλη θηλονότι ἐν τοῖς ἄνθεσι τοῦ τυροῦ, τουτέστι παρέχει αὐτῷ τυρὸν ἤγουν τρώγειν· κατὰ δὲ τὸ νοούμενον οὕτω· καὶ τὸν ἄναβον παῖδα ἐν τοῖς ἄνθεσι καὶ ἐν τοῖς γενείοις μολύνει, ἀντὶ τοῦ συνουσιάζει. ἢ καὶ οὕτως· καὶ τὸν ἄναβον παῖδα μολύνει ἐν τοῖς ἄνθεσι καὶ ἐν τοῖς ἀνθώδεσι τόποις. Q.

* 88. *βάλλει. Τὸ ἑξῆς· βάλλει καὶ τὸν αἰπόλον μήλοις ἡ τοῦ Κλεαρίστου θυγάτηρ, ἤγουν ἡ Ἀλκίππη.* Y.

* 91. *ἐκμαίνει. τουτέστιν ἀνάπτεσθαι ποιεῖ με ὑπὸ τοῦ ἔρωτος.* L. *ἐκ τῆς ἐπιθυμίας ὡς μαινόμενον ποιεῖ.* K.

* 92. *κυνόςβατος, εἶδος βοτάνης ἢ τοὺς κύνας παρορμᾷ.* K. — *ἀνεμώνα. ἡ λαγωνίς.* L. *ἀνεμώνη, ἡ κοινῶς λεγομένη κουτζουνάδα.* K.

A. 93. *ἄνδηρα λέγεται τὰ χείλη τοῦ ποταμοῦ, ἐνταῦθα δὲ αἱ κάλυκες, ἤγουν τὰ ἄνθη.*

A. 96. *ἄρκευθός ἐστιν ἡ λεγομένη ὀξυακανθέα.*

B. 98. *ὀππόκα πλεξῶ. ἐντεῦθεν ὀππόκα ἐτίθεσαν ἀντὶ τοῦ ξέειν.*

A. 100. *σίττ' ἀπὸ τᾶς κοτίνου. ἀπόστητε ἀπὸ τῆς ἀγριελαίας· τὸ σίττα ἔχει τὴν δύναμιν τοῦ ἀπόστητε.*

* 102. *οὐκ ἀπό. ἔχει οὕτως ἡ σύνταξις· ὦ οὗτος καὶ σὺ ὁ K. καὶ ἡ Κιν., οὐκ ἀπὸ τῆς δρυὸς γενήσεσθε, τουτεὶ καὶ ἐνταῦθα βόσκεσθε πρὸς τὰς ἀνατολάς, ὡς καὶ ὅπου ἐστὶν ὁ φάλαρος;* Q.

* 103. *Φάλαρος ὁ φολιδωτὸς κριός, ἢ τὸ ὄρος τῆς Ἰταλίας.* L.

* 104. *γαυλός ὀξυτόνως, ἀγγεῖον ποιμενικὸν ὃ δέχεται τὸ γάλα· γαῦλος δὲ προπερισπώμενον ὁ εὐαπάτητος, ἢ πλοῖόν τι φορτηγὸν φοινικικόν, ἢ ἄκατος.* N.

* 105. *Πραξιτέλευς — λους· οὗτος ἑρμογλύφος ἦν ἄριστος.* M.

B. 106. *λύκως ἄγχει. νικᾷ καὶ ῥεγχεῖν ποιεῖ ἐν τῇ φροντίδι τοῦ φυλάσσειν τὰ θρέμματα· δοκεῖ δὲ ὄνομα εἶναι κυνός.*

A. 107. *δίδωμι. Ἰστέον ὅτι δίδωμι λέγει ἀντὶ τοῦ δώσω· ἐπὶ γὰρ τῶν ἀναμφιβόλων ὑποσχέσεων ἐνεστῶτες καὶ παρεληλυθότες ἀντὶ τοῦ μέλλοντος τίθενται.*

* 109. *ἆβαι, πέπειροι, ὥριμοι, ἕτοιμαι πρὸς τὴν τρυγήν.* L.

* 111. καλαμεντάς. ζωῦφιά τινα ἄτινα φθείρουσι τὸν καρπὸν τοῦ σίτου καὶ τῆς ἐλαίας καὶ ἄλλους τινὰς καρπούς. K.

A. 112. μισέω τὰς δασυκέρκος. κατὰ τὸ νοούμενον· μισῶ τοὺς πολυτρίχους ἄνδρας οἵτινες βινούμενοι ἐσθίουσι τὰ ὑπ' αὐτῶν.

B. 113. τὰς ῥᾶγας ἀνελέγοντι οὕτως ἢ ῥᾶγας αὐτῶς διὰ τοῦ α ἢ ἀλληγορικῶς ὁ Κομάτας ἐν ταῖς Μίκωνος κατὰ πᾶσαν ἐσπέραν πορευόμεναι ῥαγίζοντες τὰς ῥᾶγας ἀποτρώγουσι, καὶ ὁ ἕτερος... (Gaisf. v. 114.)

A. 113. αἱ τὰ Μίκωνος. εἰς τὰς τοῦ Μίκωνος ἀμπέλους καὶ κτήματα. — ῥαγίζοντι ῥωγολογοῦσιν αὐτάς, ἤγουν τὰς ῥᾶγας σιτῶν βοτρύων ἐσθίουσι. — * τὰ ὄσπρια ἢ τὰς ἀμπέλους φθείρουσι. K.

* 114. κανθάρος, τοὺς κανθάρους. ὅμοιον γέγονε τἀνταῦθα εἰς τὸ ν. M. — κάνθαρός ἐστι ζῶον, οὐ θῆλυς οὐχ εὑρίσκεται. Z.

A. 116. σεσαρώς, χάσκων, γελῶν, εὐφραινόμενος. τοῦτο τοῖς συνουσιαζομένοις· πλέον γὰρ ἡδύνονται ἢ πάσχοντες λυποῦνται.

* 117. ποτεκιγκλίσδεν. ἤγουν ἐλυγίζου καὶ τὴν ὀσφῦν ἔστρεφες πρὸς ἐμέ. E.

* 119. ἐκάθηρε. ἀντὶ τοῦ ἐμόλυνε. M. κατὰ ἀντίφρασιν. K. καὶ ἐνταῦθα ἡ λέξις ἀσέλγειαν ἐμφαίνει. E.

* 121. σκίλλας. εἶδος βοτάνης καθαρτικῆς πάσης κακίας, ἐξ ἧς τὸ σκιλλητικὸν ὄξος. M. — παροιμία Y. — τίλλοις. κόπτοις ἄν, ἵνα ταύταις τὴν πικρίαν θεραπεύσῃς. M.

* 122. κνίσδω. κνίζειν κυρίως τὸ ἐρωτικῶς λυπεῖν· ἐνταῦθα δὲ ἀντὶ τοῦ ἁπλῶς λυπεῖν λαμβάνεται. E.

* 123. Ἄλεντα. ὄνομα ποταμοῦ, ἵνα καὶ σὺ τὴν λύπην θεραπεύσῃς. M.

A. 125. οἴνῳ πορφύροις. ὑπὸ οἴνου εἶθε πορφυροῦς εἴης, τουτέστιν, εἰς οἶνον εἶθε μεταβληθείης.

* 126. ἀ Συβαρῖτις. κρήνη τοῦ Συβαρίτου. Κ.

A. 129. Καὶ σχῖνον πατέοντι καὶ ἐν κομάροισι. εἴδη δένδρων ὁ σχῖνος καὶ κόμαρος. Κισσός εἶδος βοτάνης ἀνθηφόρου ἐοικὼς τοῖς ῥόδοις· Ἀττικοὶ βαρύνουσιν, ἡμεῖς ὁμοτόνως τῷ κισσῷ.

B. 130. μελίτεια. εἶδος βοτάνης οὕτως ὀνομαζομένης· ἔστι δὲ γλυκῶδες.

A. 137. οὐδὲ τοὺς ἕποπας ἤγουν τοὺς κουροπετείνους πρέπον ἐστὶν ἐρίζειν τοῖς κύκνοις.

B. 147. οὗτος ὁ λευκίτας. ἡ ἀπότασις τοῦ λόγου πρὸς τὸν τράγον ἐπιτρέχοντα ταῖς γυναιξὶ καὶ τοῖς κέρ. τύπτ. μάχιμον. — λευκίτας δὲ ὁ λευκὸς παραγώγως κορυττίλος ὁ κεραστὴς ὡς ἀπὸ τοῦ ὀδός ὀδίτης ἢ ὁ τοῖς κέρασι πλήττων.

B. 148. Θλάσω. ἐὰν τολμήσῃς ὀχεῦσαι πρὶν ἢ θῦσαι με ταῖς N. ὃν ἐνίκησα ἀμνὸν τὸν Λάκωνα, Θλάσω τὰ αἰδοῖα· ἀλλὰ ἐὰν....

A. 149. ὁ Μελάνθιος ἦν ἑνὸς τῶν μνηστήρων τῆς Πηνελόπης, ἢ μᾶλλον τῆς Πηνελόπης δοῦλος κολασθεὶς ὑπὸ Ὀδυσσέως.

ΕΙΔΥΛΛΙΟΝ ς'.

Nil noui afferunt Arg. nisi quod Θοῦρις B. quod proxime τῷ Δοῦρις accedit. Libri omnes Οὖρις. — A. [Δημητρίου τοῦ Τρικλινίου.] Καὶ τὸ παρὸν εἰδύλλιον συνίσταται ἐκ στίχων δακτυλικῶν ἑξαμέτρων ἀκαταλήκτων μς', ὧν τελευταῖος· »Νικᾶ μὲν οὐδ' ἄλλος, ἀνάσσατοι δ' ἐγένοντο« [sic M.]. — * τοῦ αὐτοῦ Μοσχοπούλου σχόλια. id.

* 2. ἀγέλαν. τὴν ἀγέλην, ἑκάτερος δηλονότι τὴν ἑαυτοῦ ἀγαγόντες ἤνωσαν. Υ.

* 3. πυῤῥός. φασὶ δὲ ὅτι τὸ πυῤῥὸς ἀντὶ τοῦ ἄρτι γενειῶν λαμβάνεται. ὁ γὰρ προσφάτως ἔχων τὸν ἴουλον ἐπανθοῦντα καὶ οἱόν πως πυῤῥὸς δοκεῖ εἶναι. Q.

B. 4. Θέρεος μέσῳ ἤματι, ἀντὶ τοῦ μέσου τοῦ Θέρους ὅτε κυνοκαύματα· ἢ ἄλλως, κατὰ τὸ μεσήμβρινον ὃ τῆς ἡμέρας ὅλης κανματωδέστερόν ἐστιν. — * διπλῶς συντάσσεται· ἢ Θέρεος, ἐν τῷ καιρῷ τοῦ Θέρους, ἐν μέσῃ ἡμέρᾳ· ἢ Θέρεος μέσῳ ἄματι, ἤγουν ἐν τῷ μεσαιτάτῳ τοῦ Θέρους ἐν μιᾷ ἡμέρᾳ. Q.

* 5. ἐπεὶ καί. ἐπεὶ καὶ πρῶτος προεκαλέσατο εἰς τὴν ἔριν. M.

B. 6. Ἀ Γαλάτεια. Ἱερὸν ὁ Κύκλωψ ἱδρύσατο ἐκ τοῦ ἔχειν αὐτὸν πολλὰ πρόβατα, καὶ ἐπ' αὐτῶν κεκτῆσθαι τὸ γάλα πολύ.

* 9. κύνα. ἔχουσι γὰρ κύνας οἱ ποιμένις πρὸς ἀνατροπὴν τῶν λύκων. L.

B. 12. ..... πρὸς τὴν Γαλάτειαν τρ. καὶ λέγει ὅτι ἐπαινῶ καὶ αὐτὴ τῶν κυμάτων βαίνει. Τὸ δὲ καχλάζων ἐπὶ τοῦ ὕδατος, τὸ δὲ παφλάζω ἐπὶ πυρός.

A. 15. ἀπ' ἀκάνθας. ἤγουν ὥσπερ καὶ ἐν ἀκάνθαις ὂν τὸ ῥόδον θάλλει, οὕτω καὶ αὕτη διαθρύπτεταί σοι καὶ ἐν ὕδασιν. οὖσα· οὐδὲ γὰρ ἀλλοιωθήσεται αὐτῆς ἡ χροιὰ διατριβοῦσης ἐν ὕδασιν.

* 15. ἡ κατασκευὴ αὕτη πρὸς τὸ οὐ φιλέοντα διώκει ἔχει τὴν δύναμιν· φεύγει σε, ἤγουν ἡνίκα σὺ ταύτην ἐφίλεις ἔφευγε· νῦν δὲ μὴ φιλοῦντα, ζητεῖ αὐτή. M.

B. 17. εἰ μὲν πρὸς τὴν Γαλάτειαν ἀποτείνεις τὸν λόγον, ὀφείλεις νοεῖν, ὅτι τοῦ ἐρωμένου οὐκ ἐρᾷ, τοῦ δὲ μὴ ἐρωμένου ἐρᾷ· εἰ δὲ πρὸς τὴν κύνα, τὸν φιλέοντα φεύγει (marg. φέσει) καὶ τὸν μὴ φιλέοντα διώκει.

* 17. Καὶ φεύγει. τουτέστιν ὅταν δεικνύῃς ὅτι ἐρᾷς ἐκείνης, προσποιουμένη μὴ ἀντερᾷν σου, φεύγει· ὅταν δὲ προσποιῇ σὺ μὴ ἐρᾷν ἐκείνης, ἐκείνη διώκει σε, ἤγουν καταλαμβάνει.

B. 18. λίθον τὸν ὕστερον. λίθον στερεὸν ὄντα τῆς ψυχῆς ὡς ἀπὸ γραμμῆς καὶ τεχνῆς τινὸς κινεῖ. ἄλλως· τὸν ἀπὸ σφενδόνης λίθον κινεῖ θέλων ποιῆσαί σε ἐρᾶν αὐτῆς. — λίθον. ἤγουν καὶ τὰς ἀψύχους στήλας κινεῖ πρὸς τὸν ἔρωτα. — A. Παροιμία· καὶ πάντα τρόπον ποιεῖ ὥστε τυχεῖν σου, ἤγουν πάντα λίθον κινεῖ ἵνα τύχῃ σου.

* 19. πέφανται· ἤγουν σὺ καλὸς ὤν, κακὸς φαίνῃ· ἢ ἀμόρφου σου ὄντος, ἐρᾷ ἡ Γαλάτεια. L.

B. 23. αὐτὰρ ὁ μάντις ὁ Τήλεμος. ὁ μάντις ὃς μοι εἴρηκε τυφλωθῆναι, αὐτὸς τυφλωθείη περὶ τῶν παίδων αὐτοῦ. Τοῦτο δὲ εἴρηκεν, ἐπειδὴ τοιοῦτος μάντις εἰρήκει αὐτῷ τυφλωθήσεσθαι ὑπὸ Ὀδυσσέως. —

B. 24. ἐχθρά. τοῦτό ἐστιν ὅπερ λέγει, ὅτι τὰ ῥηθέντα μοι περὶ μάντεως κακὰ ἀντιστραφῶσιν αὐτῷ καὶ τοῖς τέκνοις αὐτοῦ.

B. 28. Καὶ τὴν Γαλάτειαν οὖν οἰστρεῖν φησὶν ὁ Θεόκριτος κατὰ μεταφοράν· οἰστρεῖ παπταίνοισα, ἤγουν ὑπὸ οἴστρου πεπληγμένη.

* 29. σῖγα. ἠρέμα καὶ μετὰ σιγῆς βαῦζειν ἐπιτάττω. P.

B. 30. ἰσχία. Τὸ στόμα ἀνὰ μέσον τῶν ἰσχίων ἔχουσα· οὕτω γὰρ κοιμῶνται οἱ κύνες. — * πρὸς τῆς Γαλατείας ὀργαλίζουσα. P.

* 38. Παρίας. οὕτω καλουμένης. Πάριος λίθος ἤγουν λευκὸς καὶ Πάρος νῆσος. L.

B. 40. ἡ δὲ Κοττυταρὶς ὠνόμασται ἀπὸ τοῦ κότα· ἕτοιμοι γὰρ εἰς κότον οἱ γέροντες· ἐστὶ δὲ Κοττυτὼ Δωρικὴ θεὸς παρ' ἧς ὠνόμαστᾶι.

* 40. ..... ὀξύθυμοί εἰσι· καὶ Ἀριστοφάνης· Δύσκολον γερόντιον· ἢ κ. τ. λ. Q.

B. 45. νίκη μὰν οὐδ' ἄλλος. ἀντὶ τοῦ· οὐ γὰρ πρός τινος ἠττήθησαν· ἀνάσσατοι δέ, ἤγουν ἀήττητοι, τουτέστιν, οὐδεὶς αὐτοὺς ἐνίκησεν.

ΕΙΔΥΛΛΙΟΝ ζ'.

B. (minio) *Τῶν εἰς Κομάτα Θαλύσια ἢ ἐαρινῶν δωρίδι, ἢ ἐαρινὴ ὁδοιπορία.*

[*Δημ. τοῦ Τρ.*] *Καὶ τὸ παρὸν εἰδύλλιον ἐκ στίχων σύγκειται δακτυλικῶν ἑξαμέτρων ρνζ' ὧν τελευταῖος·*

Δράματα καὶ μακώνας ἐν ἀμφοτέρῃσιν ἐχοῖσα [sic]. *τοῦ αὐτοῦ Μοσχοπούλου σχόλια.* M.

* 1. *Ἄλεντα. τόπος ἐν Κῷ ἐν ᾧ ἐτελεῖτο τὰ Θαλύσια· ὠνομάσθη δὲ οὕτως ἀπὸ Ἀλύντου βασιλέως.* E.

* 2. *πόλιος. τῆς Συρακούσης ἢ τῆς Κῶ δηλονότι.* M.

B. 5. *Κλυτία ὄνομα κύριον· Εὐρυπύλου τοῦ βασιλέως τῶν Κῴων γυνή, θυγάτηρ δὲ Μέροπος· φησὶν οὖν ὅτι συγγενεῖς οἱ νεανίαι Χάλκωνος.*

* 5. *χαῶν. εὐγενῶν, πλουσίων, παρὰ Λακεδαιμονίοις.* L.

* 8. *αἴγειροι. ἐξ ὧν ἀποστάζει ὁ ἤλεκτρος.* M.

* 9. *κατηρεφέες. ἐσκεπασμέναι δίκην ὀρόφου, ἤγουν δασεῖαι.* M. — A. *κομόωσαι. θάλλουσαι, τουτέστιν ἐν χλωροῖς φύλλοις οὖσαι, δηλαδὴ κατηρεφεῖς.*

B. 12. *σὺν Μοίσαισιν, ἀντὶ τοῦ, ἀγαθὸν καὶ μεμουσωμένον.*

B. 16. *ποτόσδον. εἰώθασι γὰρ οἱ ποιμένες τυροποιούμενοι ἀποσπογγίζειν τὰς χεῖρας αὐτῶν ἐν οἷς ἔκειντο δέρμασιν, ἀπορίᾳ χειρομάκτρων.*

* 19. *κορύναν. ἐν τῇ δεξιᾷ χειρὶ εἶχε κορύνην, δηλονότι ῥάβδον.* M.

A. 21. *ἕλκεις δὲ, τοῦτο διὰ τὸ ταχέως αὐτὸν πορεύεσθαι εἴρηκεν.* [M. *σύρεις, τοῦτο..*]

A. 23. *Κόδυδοι ὄρτυξιν ὅμοιοι ὄρνιθες, οὓς ἔνιοι κορυδαλοὺς καλοῦσι, καὶ Ἀθηνᾷ ἱεροί.*

B. 24. *μετὰ δαῖτα κλητός. εἰ ὑπερήσει μοῖραν εὑρήσκει τῶν κρεῶν· ἢ μετὰ δαῖτα ἄκλητος, οἱ γὰρ κεκλ. σπ.*

A. 25. λανὸν ἐπιθρώσκεις. κατὰ ἀντιστροφὴν τῆς προθέσεως· ἐπὶ ληνόν τινος τῶν πολιτῶν· θρώσκεις, ἀντὶ τοῦ, ἀπέρχῃ.

A. 30. κατ' ἐμὸν νόον. κατὰ τὴν ἐμὴν κρίσιν, ἤγουν, ὡς ἐγὼ λογίζομαι. [ἰσοφαρίσθεν] ἰσοῦσθαί σοι κατὰ τὴν ᾠδήν.

A. 32. εὐπέπλῳ Δαμάτερι. Τῇ Δημήτερι τῇ εὐπέπλῳ, τῇ ἐχούσῃ καλὸν πέπλον. — * εὔπεπλον εἶπε τὴν γῆν διὰ τὴν τῶν ἀνθῶν λαμπρότητα, ὑφ' ὧν κοσμεῖται ἡ γῆ καὶ ὡραιοτάτη φαίνεται. E.

* 34. εὔκριθον. καλὰ πάντα τὰ σπέρματα ἔχουσαν, ἀπὸ μέρους τὸ πᾶν. M.

B. 36. τάχ' ὥτερος. ὁ ἄτερος, ἕτερος, τὸ γὰρ ὁ ἕτερος διὰ τοῦ ου οὗτερος, καὶ παρ' Ἡροδότῳ τάχ' ὥτερος ἐξημαρτημένως ἐξενήνεγκεν οὗτερος ὁ ἕτερος διὰ τῆς μουσικῆς ὠφελήσει.

* 38. ταχυπειθής. οὐκ εἰμὶ εὐκόλως πειθόμενος τοῖς περὶ ἐμοῦ ταῦτα λέγουσιν. E.

A. 40. Σικελίδαν. Τὸν Σικελικοῦ μὲν υἱόν, Ἀσκληπιάδην δ' ὠνομασμένον· φασὶ δὲ αὐτὸν εἶναι ἐπιγραμματογράφον, τὸ γένος Σάμιον, οὗτινος ἠκροάσατο ὁ Θεόκριτος. — B. Ἀσκ. φησὶ λεγόμενον τὸν γραμματοφόρον· οὗτος Σάμιος τὸ γένος, Σικελίδας δ' ἐκαλεῖτο πατρωωνυμικῶς, Σικέλου γὰρ υἱὸς ἦν, οὕτω καλουμένου. ἄλλως. Ἀσκ. φ. τὸν ἐπιγράμματα γράψαντα οὐ δοκεῖ ἀκουστὴς γεγονέναι.

A. 44. ἐκ Διὸς ἔρνος. ὅτι ὁ Ζεὺς ἀψευδής ἐστι· φυτὸν ὑπὸ Διὸς ἐπ' ἀληθείᾳ ὂν εἰργασμένον.

* 48. κοκκύζοντες, ἤγουν ἠχοῦντες, τουτέστιν ὁμοίως ἐκείνῳ βουλόμενοι γράφειν. M.

* 52. ἐς Μιτυλάναν. ἐς Μιτυλήνην ἀπερχομένῳ δηλονότι ἐντεῦθεν ἀπὸ τῆς Κύδωνος ἡμετέρας πόλεως. M.

B. 53. ..... ὁ χειμών, καὶ εὐπλοΐη σοι ὁ Ἀγβάναξ τ' ἂν αὐτὸν τοῦ ἐραστοῦ πᾶσι χαρισάμενος τῆς ὥρας.

A. 54. κ' Ὠρίων. ἐν γὰρ χειμῶνι, ἀνίσχοντος ἡλίου, οὗτος καὶ τὴν ἑῴαν δύσιν δύνει. — * τὸ κοινῶς ἀλετροπόδιον λεγόμενον. M.

* 56. ῥύσηται. ἤγουν ὅταν λυτρώσηται, ἀπαλλάξῃ τῆς ὀπτήσεως δηλονότι. M. — A. Θερμός, ἀντὶ τοῦ Θερμαντικός [καυστικός M.] ἔρως αὐτοῦ, ἤγουν οὗ [ὃν M.] ἐγὼ ἐρῶ αὐτοῦ.

A. 57. ἀλκυόνες. [Παλαιόν. M.] ὄρνιθες Θαλάσσιοι ὧν τίκτουσι στορέννυται ἡ Θάλασσα· στορέσαιεν. κατακομίσαιεν. — B. .... Ἀλέξανδρος δὲ φησιν ὁ Μύνδου ὅτι ἄτη Θεῶν λέλογχε Νηρηΐδων Λευκοθέαν παλαίμεναν ἀφροδίτην....

A. 58. ἔσχατα φυκία. τὰ κατώτατα, ἤγουν τὰ ἐν τῷ βάθει τῆς Θαλάσσης κείμενα βρύα [σαλεύει M.].

* 62. ἵκοιτο. μετ' εὐπλοίας εἰς τὸν λιμένα ἀφίκοιτο, ἔλθοι. M.

A. 63. Κἠγὼ τῆνο. Καὶ ἐγὼ κατὰ τὴν ἡμέραν ἐκείνην, ἤγουν ὅταν εἰς τὴν Μιτυλήνην ἀπέχεται.

A. 64. φυλάσσω. ἔχων, φορῶν ὁ περικείμενον ἢ φυλάσσων ἐκείνῳ τιθεὶς πεφυλαγμένον αὐτὸς ἔχων. — B. ἀντὶ τοῦ ἔχων ἄδε μοι τόδε δῶμα. ἔχει μὴ ἀποτίλλων τὰ ἐξ αὐτοῦ ἄνθη ὃ δηλοῖ πεφυλαγμένου αὐτοῦ χρώμενος.

A. 67. ἔς τ' ἐπὶ πᾶχυν. ἐς καὶ ἡ ἐπὶ ἐκ παραλλήλου, ὡς ἐπὶ πᾶχυν ἀντὶ τοῦ εἰς πῆχυν, τουτέστι, μέχρι πήχεως· περισσὴ γὰρ ἡ ἐπί.

B. 70. τρύγα δὲ τὸν νέον οἶνον· τρύγα δ' εἶχεν ἐδωδήν. — * ἤγουν μέχρις οὗ ἅπαν ἐκροφήσῃ τὸ πόμα. M. μέχρι καὶ νέου οἴνου· τρυγὸς ἀντὶ τοῦ ἐν τῷ πυθμένι τῆς κύλικος τοῦ οἴνου. P.

A. 71. Ἀχαρνεύς, Ἀττικὸς ἀπὸ δήμου, ἤγουν ὄνομα κύριον· δῆμος ἀττικὸς ὠνόμασται ἀπό τινος Ἀχαρνέως ἄρχοντος.

* 73. Ξενέας. μοῦσα ἦν ἡ Ξενέα. L.

A. 76. Ὁ Αἶμος καὶ ἡ Ῥοδόπη ὄρη τῆς Θρᾴκης

καὶ ἔτι ὁ Ἄθως ὡς παρ' Ἀπολλωνίῳ τῷ Ῥοδίῳ· Ἄθω ἀνέτελλε κολώνη θρηϊκία· Ἄθως καλύπτει πλευρὰ Λημνίας βοός, παροιμία ἐπὶ τῶν τινὰς λυπούντων ἢ βλαπτόντων, ἐπειδὴ καὶ τὴν βοῦν τῆς ἐν Λήμνῳ λευκοῦ λίθου πεποιημένην Ἄθως τὸ ὄρος ἐπισκιάζει.

* 76. Κατετάκετο. καλῶς τὸ τήκειν. σημαίνει γὰρ τὸ κατὰ μικρὸν ὑποῤῥεῖν. L. Αἶμον τὸν εἰς μῆκος ἐκτεταμένον, ὑψηλόν· ὄρος Θρᾴκης ἀπὸ Αἵμωνός τινος ἄρξαντος ἐν τούτῳ. M.

B. 77. Post ἐπωνόμασται· Ἄθως δὲ καὶ Ῥοδόπη ὀνόματα ὀρῶν Θρᾴκης. — A. Ῥοδόπη ὄνομα κύριον καὶ ὄρος Θρᾴκης ὅθεν τὰ ῥεύματα ἔχει Ἔβρος ποταμὸς Θρᾴκης.

A. 78. τὸν αἰπόλον. οὗτος φθονηθεὶς ὑπὸ τοῦ δεσπότου διὰ τὸ συχνὰ θύειν ταῖς Μούσαις ἐναπεκλείσθη ξυλίνῃ λάρνακι.

* 81. κέδρον, ἤγουν τὴν λάρνακα τὴν ἀπὸ κέδρου κατεσκευασμένην, ἥτις εἶχεν ἐκεῖνον. M.

A. 86. αἴθ' ἐπ' ἐμοί. εἴθε ἀποκείμενον ἦν εἶναί σε ἐναρίθμιον τοῖς ζωοῖς. ἐπ' ἐμοί. ἤγουν ἐπὶ τῇ ζωῇ τῇ ἐμῇ.

* 93. Ζανός. παροιμία. L.

* 96. ἐπέπταρον. ἐπέπνευσαν, ἐπῆλθον ἱπτάμενοι. M. ἐπὶ καλῷ ἔπεσον καὶ ἐδέοντο. L. ἐμνήσθησαν, βαρέως ἐπέπνευσαν. C.

* 98. ἀνέρι τήνῳ. ἤγουν ἐμοὶ τῷ Σιμιχίδῃ· ὑπαλλαγὴν γὰρ ποιεῖται τοῦ προσώπου. Q.

B. 99. οἶδεν Ἀρίστις. τὸ ἐξῆς· οἶδεν Ἀρίστις ὡς ἐκ παιδὸς Ἄρατος ὑπ' ὀστέον ἐθέλγετ' ἔρωτι· Ὁμόλας οἶδεν ὁ ἀγαθὸς Ἀρίστις, οὗτος δὲ κιθαρῳδός.

* 102. ἐκ παιδός. ἤγουν ἐκ παιδικῆς ἡλικίας· ἢ ἕνεκα παιδός τινος. E. ὑπ' ὀστέον. ἤγουν μέχρι μυελοῦ τοῦ ὑπὸ τὸ ὀστοῦν. M.

B. 104. ἄκλητον κείνοιο· ἤγουν καὶ πρὸ τοῦ

καλεσθῆναι αὐτὸν παρ' ἐμοῦ ἐμβιβάσαις μου ταῖς χερσὶν αὐτὸν τὸν Φιλῖνον.

Α. 105. Φιλῖνος ὄνομα κύριον· καὶ φιλῖνος ὁ φίλιος, ὁ τὰ περὶ τῆς φιλίας ἐπισκοπῶν.

Α. 107. σκίλλα, εἶδος βοτάνης, πικρὰ καὶ θανατηφόρος τοῖς ἐσθίουσιν. — * βοτάνη δηλητήριος ἀκανθώδης. Μ.

* 109. ὀνύχεσσι. σιδηροῖς ὄννξι. Μ.

* 111. Ἠδωνοί. ἔθνος ἐν Μακεδονίᾳ. Ε. — Ἕβρον. παρὰ τὸν Ἕβρον τὸν ποταμὸν τετραμμένος, ἤγουν νενευκώς, λέγω ἐγγὺς τῆς ἄρκτου ἤγουν τοῦ βορείου μέρους. Μ. — Αἰθιόπεσσι. παρὰ τοῖς Αἰθίοψι τοῖς περὶ τὰ ἔσχατα τῆς Αἰθιοπίας ᾠκισμένοις. Μ. Βλεμύων. ὄρος Αἰγύπτου ἀπὸ Βλεμύων τῶν ἐν αὐτῷ κατοικούντων. Μ.

* 116. οἰκεῦντες. οἰκεῦντα ἀντὶ τοῦ οἰκούμενον, ἐνεργητικὸν ἀντὶ παθητικοῦ, καὶ τὸ ἀρσενικὸν ἀντὶ οὐδετέρου· ἀπέδωκε γὰρ αὐτὸ πρὸς τὸ σημαίνομενον τοῦ ἔδος, ἤγουν τὸν χῶρον. Ε. — Διώνας. τῆς Ἥρας ἡ μήτηρ. L.

* 117. ἐρευθομένοισιν. βάμματι κοκκίνῳ κεχρωματισμένοις. Μ.

* 120. ἀπίοιο. εἴθε ἀπέλθοις διαλελυμένος, ὠχρότερος γένοιτο ὑπὸ τοῦ ἔρωτος. Ε. — πεπαίτερος. ἀπὸ μεταφορᾶς τῶν ἐπὶ πλέον τῆς προσηκούσης πεπάνσεως πεπανθέντων ὀπωρῶν, καὶ διὰ τοῦτο σαπέντων καὶ χαυνωθέντων. Ε.

Β. 123. ἄλλον ἀλέκτωρ Κοκκύσδων· ὡς ἅμα τοὺς ἀλεκτρυόνας ᾄδειν παραγενομένων καὶ φρουρούντων τὸν Φιλῖνον. — * ὄρθριος. Ὁ νοῦς τοιοῦτος· ἡμεῖς μὲν μέχρι καὶ τοιᾶσδε τῆς νυκτὸς φυλακῆς τοῖς αὐτοῦ προθύροις ἐμείνομεν, κατὰ δὲ τὸν ὄρθριον ἀλέκτορα καὶ ἄλλος ἐραστὴς τοῖσδε τοῖς προθύροις ἐπιμείνῃ. L.

* 124. νάρκαισιν. ἀπραξίαις, ἀργίαις, ναρκοῖς ἀργὸς καθήμενος. Μ.

* 125. ἄγχοιτο· ἔξωθεν τοῦτο ἐπιφωνοῦσιν· εἰς δὲ ἀπὸ ταύτης τῆς παλαίστρας ἀπαγχέσθω. L.

B. 127. φθύζειν. πτύειν δωρικῶς ..... Τινὲς δέ, ὀλίγῳ χρόνῳ συμπαροῦσα. ἀμφίβιον δὲ γὰρ τὸ ὀλιγοχρόνιον κατὰ γλῶσσαν. — * ἐπάδουσα, τὰ μὴ δεξιῶς ἡμῖν προχωροῦντα χωρὶς εἰργουσα. P. — A. ἐρύκοι. ἀποδιοπομποῖτο ἀφ' ἡμῶν, ἀποπέμπουσα κατέχοι.

A. 34. ὄλβιος, φησίν, ἐστὶν ὃς κρίνει τοῖς παισὶν ἐκεῖνα τὰ φιλήματα· ὄντως πολλὰ ἐπιβοᾶται τὸν χαροπὸν Γανυμήδεα ἔχειν τὸ στόμα ἴσον τῇ Λυδίᾳ λίθῳ, ἐν ᾗ τὸν ἀληθῆ χρυσὸν οἱ ἀργυραμοιβοὶ δοκιμάζουσι μὴ φαῦλον εἶναι· ἐν Λυδοῖς γὰρ καὶ τὸν χρυσὸν ἐλέγχουσα λίθος εὑρίσκεται. [Τοῦ Τρικλινίου. M.]

* 35. χαροπόν. ὡς ὡραῖον καὶ πρῶτον ἐν νέοις φιληθέντα ὑπὸ τοῦ Διός. M.

A. 37. ἀργυραμοιβοί. οἱ ἄργυρον διδόντες καὶ χρυσὸν λαμβάνοντες [ὠνούμενοι. M.].

ΕΙΔΥΛΛΙΟΝ ιγ'.

A. [Τρικλινίου.] Καὶ τὸ παρὸν εἰδύλλιον ἐκ στίχων σύγκειται δακτυλικῶν οε', ὧν τελευταῖος· „περός δ' ἐς Κ.“

B. 1. οὐχ ἁμῖν, φησί, μόνοις τοῖς θνητοῖς τὸν Ἔρωτα ἔτεκεν, ὅστις ποτέ ἐστιν, ἀλλὰ καὶ Ἡρακλῆς ἠράσθη· ἐπεὶ δὲ τὰ τῆς ὑπὸ τῶν Νυμφῶν γενέσεως τοῦ Ἔρωτος εἰς πολλὰ διαλύττει, διὰ τοῦτό φησιν, ὥτινι τοῦτο θεῶν τέκνον ἔγεντο.

* 6. λίν. τὸν ἐν τῇ Νεμέᾳ λέοντα οὗ καὶ τὴν δορὰν ἐφόρει ὁ Ἡρακλῆς. L.

* 7. φορεῦντος. τοῦ τὴν πλοκαμῖδα φέροντος· πεπλεγμένος γὰρ ἦν ὡς γυναικώδης. M. μᾶλλον πεπλεγμένον ἢ τὸ φέροντος προσποίηται μαλλόν. P. τοῦ τὸν μαλλὸν πεπλεγμένου ἢ τοῦ φέροντος προσποιητὸν μαλλόν. L.

A. 10. χωρίς. ἀλλ' ὁμοῦ ἀεὶ οὐδέποτ' ἦν· ἤγουν οὐδὲ ὅτε ἦν τὸ μέσον ἡμέρας· ὁρμήσῃ, τοῦτο δ' εἶπε διὰ τὴν τοῦ ἡλίου κίνησιν.

* 11. οὔθ' ὅκα. ἤγουν οὔτε ὅτε ἡ ἡμέρα ὑπὸ γῆν οὖσα ἀνέρχεται εἰς τὸ Διὸς οἴκημα, ἤγουν τὸν οὐρανόν. M.

A. 12. οὐδ' ὁπότε. ἤγουν ὅτε ἐσπέρα καταλάβῃ καὶ οἱ τρωγλῖται ὑπὸ ταῖς καλιαῖς εἰσέρχονται, ταῖς ἐν τοῖς τῶν ἀνθρώπων οἰκήμασιν οὔσαις. — ὀρτάλιχοι. οἱ μικροὶ νεοσσοί, οἱ μηδέποτε πτήσεως ἀρξάμενοι.

* 13. σεισαμένας. ἀναπτερυσσομένης, ὅπως ὑπὸ τὰς πτέρυγας λάβῃ τὰ νεοσσά. M. πετεύρῳ γράφεται καὶ πηταύρῳ. L.

A. 15. αὐτῷ δ' εὖ ἕλκων. ἤγουν καλῶς ἐν αὐτῷ διερχόμενος καὶ διαβιβάζων τὸν ἑαυτοῦ βίον· ἀπὸ μεταφορᾶς τῶν βοῶν τῶν ἑκ νέου εἰθισμένων καλῶς ἕλκειν.

* 19. Ἰαωλκόν. ἤγουν τὴν Κολχίαν ἢ τὴν Μαγνησίαν. M. — ὄνομα πόλεως, ἡ λεγομένη Μαγνησία. L.

A. 21. Ἄργώ. διὰ τὸ ἐν Ἄργει, ἢ ὑπὸ Ἄργου τινὸς ναυπηγοῦ κατασκευασθῆναι, ἢ διὰ τὸ ταχεῖαν εἶναι κατ' ἀντίφρασιν.

* 24. λαῖτμα. τὸ πέλαγος ἢ τὸ τῆς θαλάσσης πλάτος. L.

* 32. δαῖτα. τὸ λεγόμενον σύνδυο εἰς τὸ περὶ τρυφὴν ἠσχολοῦντο. L.

* 35. βούτομον. ἐκ τούτου πάπυρον, ἤγουν τὸ κοινῶς ῥαγάζιον. M.

* 41. χελιδόνιον. ὃ τὰς τῶν χελιδόνων κόρας τυφλωθείσας φωτίζει. Q. — B. Καὶ τὸ ἀδίαντον δέ ἐστι διὰ παντὸς ἄβροχον καὶ ταχέως ὡς ξηραινόμενον καὶ ὕδωρ ἀντὶ τοῦ ἐπιβλήθη καὶ ἐπιχεθῇ διολισθαίνει.

A. 44. θεαί, τοῖς ἐν ἀγροῖς οἰκοῦσι φαντάζουσαι, αὐτοὺς καὶ τὸν νοῦν παρατρέπουσαι.

A. 51. μικρὸν ἡ τρεπή, φησί, ποιεῖται τὰ ἱστία καὶ τὰ λοιπὰ τῆς νεώς.

A. 56. *μαιωτιστί, φησίν, ἤτοι Σκυθιστί, ἀπὸ μεταφορᾶς τῶν ὀπλιζομένων ἐν τόξοις Σκυθῶν, τῶν περὶ τὴν Μαιώτιδα λίμνην οἰκούντων.*

A. 61. *ὥσπερ δέ, φησίν, νεβροῦ καὶ ἐλάφου φθεγξάμενος ἀκούσας λέων εὐγένειος, ὠμοφάγος ἐξέρχεται τῆς κοίτης αὐτοῦ ἐπὶ ἑτοιμοτάτην τροφήν, οὕτω καὶ Ἡρακλῆς ἀκούσας τῆς τοῦ παιδὸς φωνῆς, ἁβάτοις ἐν ὄρεσι διήρχετο, τεταραγμένος τὸν παῖδα ποθῶν.*

B. 61. *ἄγαν ἐγγὺς ὤν, πόρρωθεν ἐδόκει ἀκούειν διὰ τὸ λεπτὸν αὐτοῦ καὶ ἀμαυρὸν φέρεσθαι τὴν φωνήν. ὥσπερ νεβροῦ φθεγξαμένης ἐκ κοίτης λέων ἀκούσας σπεύδει ἐπὶ τὴν ἑτοίμην τροφὴν αὐτοῦ.*

A. 64. *ἀτρίπτοισιν ἀκάνθαις. ἤγουν ὄρεσιν ἀκανθώδεσι, μὴ ἔχουσι τριβὴν καὶ βάδισιν.*

A. 67. *ὕστερα πάντ' ἦς, ἤγουν τὸν μὲν Ὕλαν ἐζήτει καὶ πᾶσαν ἦν αὐτῷ φρόντις· οὗτος τὸ τοῦ Ἰάσονος ἐν δευτέρῳ εἶχε λόγῳ.*

A. 74. *τριακοντάζυγον. ἤγουν ὑπὲρ μεγέθει τριάκοντα ἔχουσαν ἐνὶ μέρει καθέδρας ὡς ξ' εἶναι ἐρετῶν.*

ΕΙΔΥΛΛΙΟΝ ιδ'.

* *Τοῦ αὐτοῦ Τρικλινίου. Καὶ τὸ παρὸν εἰδύλλιον ἐκ στίχων σύγκειται δακτυλικῶν ο', ὧν τελευταῖος „Λευκαίνων...“* **M.**

* 2. *μέλημα. τί δέ σοι ἡ φροντίς; ἰδὼν δὲ αὐτὸν κατατηκόμενον τοῦτο λέγει.* **M.**

5. *Πυθαγορικτής καὶ Πυθαγοριστὴς διαφέρει· Καὶ Π-κτὴς μέν ἐστιν ὁ τοῦ Π-ου ἔχων τὰ ἰδιώματα καὶ τοὺς τρόπους. Π-στὴς δέ, ὁ τὰ τοῦ Π-ου ποθῶν, πλὴν μὴ κατ' ἐκεῖνον ὤν, μηδὲ τὰ ἐκείνου ποιῶν· ἐνταῦθα δὲ*

Π-κτὴν τινὲς τὸν Σιμιχίδα, ἕτεροι δὲ τὸν Πλάτωνά φασιν· ἐλέγετο δὲ ὁ Πλάτων τὸν Πυθαγόραν οὕτως ἀποδέχεσθαι, ὡς καί τινα νομίζεσθαι λέγειν ἐξ αὐτοῦ, ὥστε Πυθαγορικτὴν εἰρῆσθαι· ἕτεροι δὲ ἐναντία περὶ τοῦ Π-κτοῦ καὶ Π-στοῦ λέγουσιν.

** 7. ὀπτῶ. ὀπτοῦ ἀλεύρου, ἤγουν ἀδυνάτου πράγματος.* **M.**

** 12. Τρικλινίου. ὠργεῖος. Τὸ Ἀργεῖος τινὲς ὄνομα κύριόν φασι καὶ οὐκ ἐθνικόν.* **M.** *— ἱπποδιώκτας· ὁ τοὺς ἵππους ἐλαύνων ὡς στρατιώτης.* **M.**

** 14. ἐν χώρῳ, ἤγουν ἐν τῇ ἡμετέρᾳ οἰκίᾳ τεμὼν εἰς μέλη παρέθηκα νεοσσοὺς ὄρνεις.* **M.**

** 15. Βύβλινον, οἶνον δηλονότι ἀπὸ Βύβλου νήσου.* **M.**

** 16. σχεδὸν ὡς ἀπὸ λανῶ· ἤγουν ὅμοιον ὄντα νέῳ οἴνῳ διὰ τὸ ἐρυθρόν· τοιοῦτοι γὰρ οἱ νέοι οἶνοι.* **M.**

** 18. ἐπιχεῖσθαι. ἤγουν φιλοτησίαν ποιήσασθαι, ἣν κοινῶς φασὶ σδράβιταν.* **M.**

** 20. ἄμμες. ἡμεῖς μὲν φωνοῦντες ἀλλήλοις χαίρειν, οὕτω γὰρ εἰώθασι ποιεῖν.* **M.**

21. ἢ ἡδὺ πίνουσιν οὐκ ἐφώνει, καθὼς ἡμεῖς, παρόντος ἐμοῦ .... ἔπειτα, φησίν, σιγώσης αὐτῆς. ἔπαιξέ τις εἰς αὐτὴν εἰπών· Οὐ φθεγξῇ; λύκον εἶδες.

24. Λάβα. τοῦ Λάβα φησὶν ἐρᾶν τὴν Κυνίσκαν διὰ τὸ κάλλος αὐτοῦ· Λάβα δὲ τινά φησι τὸν αὐτοῦ πατέρα, ἀπὸ τοῦ παραλαμβάνεσθαι ἐκεῖσε τὴν τοῦ Αἰσχίνου γυναῖκα.

27. τοῦτο δι' ὠτός. παρηκηκόειν δέ, φησίν, πρότερον περὶ τοῦ ἐρᾶν αὐτὴν τοῦ Λύκου, ἀλλ' ἠσύχως, διόπερ οὐκ ἐξήτασα ἐξαπίνης· ἡ δὲ Κυνίσκα, φησίν, ἀκούσασα οὕτως ἐξαπίνης ἔκλαιεν οἰκτρῶς, ὡς κόρη, τοῦ τῆς μητρὸς κόλπου ἐπιθυμήσασα.

** 32. Θαλερώτερον. σύντονον ἢ τρυφερώτερον· ὡς καὶ τὸ τέρεν δάκρυ παρ' Ὁμήρῳ.* **M.**

41. ἀπὸ δίφρακος. παρόσον ὅτι μαλακῶς καθίζουσιν αἱ γυναῖκες, καθὼς ἐκ Συρακουσίαις.

45. σάμερον ἐνδέκατον. ψηφίζει τὰς ἡμέρας ὁ Αἰσχίνης καὶ γίνεται ξ παρὰ η· σάμερον ἐνδέκατον τοῦ ἐνισταμένου, φησίν, μηνός, σήμερον ια' ἐστὶν ἃς καὶ αὐτάς, λέγω δὲ τὰς ἕνδεκα ἡμέρας, προσληπτέον ταῖς προτέραις καὶ ἔσονται νη' ἡμέραι.

* 45. δύο· καὶ δύο ἐν ἄλλῳ δυοκαίδεκα. M.

* 46. Θρᾳκιστί· ἐκείροντο γὰρ Θρᾷκες ὡς πολεμικοί, ἵνα μὴ βάρος αὐτοῖς εἶεν αἱ τρίχες. M.

* 47. νυκτὸς ἀνῴκται. καὶ ἐν νυκτὶ μνησθεῖσα ἐκείνου ἀνίσταται, καὶ ὥσπερ μαινομένη ἀναπηδᾷ· εἰκάζων δὲ τοῦτο λέγει· πῶς γὰρ οἶδεν ἄν, ἐπεὶ ἀπέστη αὐτοῦ; M.

* 51. μῦς· Παροιμία· Μῦς ἄρτι πίττης γευόμενος καὶ μῦς πίττης γεύεται· ἐπὶ τῶν πρώην μὲν τολμηρῶν, ἀθρόον δὲ δειλῶν ἀναφανέντων· ἢ ἐπὶ τῶν νεωστὶ ἀπαλλασσομένων μετὰ κόπου· καὶ ὡς μῦς ἐν πίσσῃ, ἀπὸ Μυὸς τοῦ Ταραντίνου κακῶς Ὀλυμπιάσιν ἀπαλλαγέντος. N.

59. Πτολεμαῖος. παραινεῖ αὐτῷ ὁ Θυώνιχος πλὴν εἰς Ἀλεξανδρείαν, πρὸς τὸν βασιλέα τὸν Φιλάδελφον, μισθοφορῆσαι τὰ παρ' αὐτῶν· κατὰ δεξιόν, ὥστε, φησίν, εἴ σοι ἀρέσκει ἐμπεπάρθαι τὸ ἱμάτιον κατὰ τὸν δεξιὸν ὦμον καὶ ὑπομένειν δύνασθαι ἀμφοτέροις βεβηκόσι τοῖς ποσὶ προσφερόμενον Πτολεμίονα πολίτην, ὡς τάχιος ἄπελθε εἰς Αἴγυπτον.

ΕΙΔΥΛΛΙΟΝ ιε'.

* Τοῦ Τρικλινίου. Καὶ τὸ παρὸν εἰδύλλιον ἐκ στίχων σύγκειται δακτυλικῶν ἑξαμέτρων ἀκαταλήκτων ρμθ', ὧν τελευταῖος· »χαῖρε....« M.

1. Γοργὼ φίλα. Πρὸς θεράπαιναν φησὶν ὅτι ξένδον ἡ Πραξινόα ἐστί· πρὸς ἣν ἡ δούλη ὡς χρονία λέγει,

Γοργὼ φίλα, ὡς διὰ χρόνου! εἶτα μικρὸν διαστήσασα ἐπάγει ἐνδοῖ ἀντὶ τοῦ ἔνδον· γράφεται καὶ ἠνδοῖ, καί ἐστι τοπικὸν ἐπίῤῥημα ὡς τὸ Μεγαροῖ, Πυθοῖ.

* 3. *ποτίκρανον. ὑποπόδιον ἢ τὸ κοινῶς προσκέφαλον.* **M.**

* 4. *ἀδεμάτου. ὡς τῆς ἀδειμάτου, ἐπιπόνου, ἀφόβου ἡμετέρας ψυχῆς πῶς ἦλθε τὸν ὄχλον.* **M.**

* 12. *ποθορῇ. ὅτι πρὸς σὲ βλέπει τὶ δηλονότι λέγεις ἀκοῦον.* **M.**

* 13. *Ζωπυρίων ἤγουν ἐκπυρούμενον ἐν τῷ προσώπῳ.* **M.**

* 15. *ἀπφύς. ἀπφὺς μὲν οὖν ἐκεῖνος, ἤγουν ὁ πατὴρ πρώην (τοῦτο δ' εἰώθαμεν λέγειν ἐπὶ πάντων τῶν πρὸ ὀλίγου πεπραγμένων) τριςκαιδεκάπηχυς ἀνὴρ ὤν, ἐνδεὴς δὲ κατὰ τὰς φρένας, ὅτε ἠγόραζεν ἐν τῇ πανηγύρει νίτρον καὶ φῦκος, ἀντὶ νίτρου ἅλας ἔφερεν.* **N.** *πρώαν τοῦτο διὰ μέσου· πάντα δὲ λέγομεν πρώην δή· καὶ τὰ πρὸ πολλοῦ καὶ τὰ πρὸ ὀλίγου δηλονότι γεγονότα.* **M.**

* 16. *νίτρον καὶ φῦκος. εἴδη ταῦτά ἐστι δι' ὧν καλλωπίζονται αἱ γυναῖκες.* **M.** *σκανᾶς. σκηνὰς γὰρ ἱστῶσιν οἱ πωλοῦντες ἐν ταῖς πανηγύρεσιν.* **M.**

* 21. *περονατρὶς πέπλον ἐστὶν ἐπάνω τῶν ἐνδυμάτων περιβαλλόμενον, ὅπερ νῦν μανδύον φασίν, ὅπερ οὐ ζώννυνται, ἀλλὰ διὰ περόνης κατὰ τὸ στῆθος συνδοῦσιν.* **N.**

* 24. *Ἐν ὀλβίῳ, ἤγουν τῷ εὐτυχεῖ πάντα εὐτυχῆ εἰσὶν ὡς καὶ σοὶ τοιαῦτα ἰδούσῃ.* **M.**

* 30. *ἆδ' ὡς νᾶμα. ἀντὶ τοῦ ἴδε εἰς ποῖον ἀγγεῖον βαλοῦσα τὸ ὕδωρ, φέρει ἐμοί.* **M.**

* 44. *ὦ θεοί· τῆς ὁδοῦ ἀψαμένη τοῦτο λέγει.* **M.**

* 50. *ἀλλάλοις, ἤγουν πρὸς ἀλλήλους ἐξισάζοντες, συμφωνοῦντες ἐν τῷ παίζειν.* **N.** — *ἐρεισί. εἰς μίαν βουλὴν ὄντες.* **M.** *μεγαλοπρεπεῖς, ἔνδοξοι.* **N.**

52. ἄνερ, τοῦτο πρός τινα τῶν ἐπιβεβηκότων τοῖς ἵπποις φησὶν ἐν τῷ πλήθει.

* 58. ψυχρόν. ἤγουν ἰοβόλον· ψυχρότητος γὰρ ποιητικὸς ὁ ἰὸς τοῦ ὄφεως. E.

* 59. ἐπιῤῥεῖ. δίκην ῥευμάτων συχνὸς ἐπέρχεται. E.

* 72. ἐπ' ἐμίν. τουτέστιν οὐκ ἐξ αἰτίας ἐμοῦ ἔσχισται τὸ ἱμάτιόν σου. E.

* 73. ῥύες. ῥύακες κατὰ ἀποκοπήν. E.

* 77. ὁ τὰν νυόν. Παροιμία ἐστίν· εἴρηται δὲ ἀπό τινος νυμφίου λαβόντος τὴν νύμφην καὶ εἰσελθόντος εἰς τὸν θάλαμον καὶ κλείσαντος αὐτόν· τοῦτο γὰρ ποιήσας, τοῖς ἐκτὸς ἔφη· Κάλλιστα ἡμῖν πάντα. N.

* 86. τριφίλατος. ὥσπερ ἐπὶ τοῦ τρισμέγιστος, καὶ τρισκατάρατος, καὶ τρισαριστεύς, καὶ πολλῶν ἄλλων τοιούτων, τὸ τρὶς οὐχ ὡρισμένως ἀπὸ τοῦ τρία λέγεται, ἀλλ' ἀόριστον πλῆθος σημαίνει, οὕτω καὶ τὸ τριφίλητος, ἀντὶ τοῦ παμφίλατος. E.

* 89. μᾶ. ἀγανάκτησις παρὰ Συρακουσίοις τὸ Μᾶ. L.

* 92. πελοποννασιστί. ἐπεὶ δὲ καὶ Κόρινθος ἐν Πελοποννήσῳ, διὰ τοῦτό φησι· Πελ. λαλεῦμες, ἤγουν δωρικῶς. N.

* 94. Μελιτῶδες· Μελιτώδη τὴν Περσεφόνην φησὶ κατὰ ἀντίφρασιν, διὰ τὸ πικρίας μᾶλλον εἶναι πρόξενον τοῖς ἀποθνήσκουσι. καταχθονία γὰρ ἡ Περσεφόνη· φησὶν οὖν, ὦ Περσ., ἡ τῇ φύσει μελιτώδης, μηδεὶς γένοιτο ἡμῶν ἄλλος κύριος, ὥστε δηλονότι μὴ ἐᾷν ἡμᾶς τὰ κατὰ βούλησιν λέγειν ἢ ποιεῖν. N.

* 95. ἀπομάξῃς, ἀποσκοπίσῃς, ἤγουν ἅψεται. M.

* 103. μαλακαίποδας ἔφη τὰς ὥρας, διὰ τὸ μὴ ἐξαίφνης τὰς ποιότητας ἀμείβεσθαι, ἀλλὰ σχολαιοτέρως καὶ διὰ μεσοτήτων. E. .... ἐκ τοῦ ᾄδου· τὴν γὰρ μητέρα Βερενίκην καὶ τὸν πατέρα Πτολεμαῖον ἀπεθέωσε. C. Gen. μαλακοὺς δέ φησι τοὺς πόδας ἔχειν τὰς ὥρας, ὅτι τὸ ἔαρ μαλακὸν εἰς τὸ πορεύεσθαι τοὺς ἀνθρώπους καὶ οὐ

τραχὺ ὡς ὁ χειμών. M. ... μαλακόν, ἐπεὶ τὴν πρόβασιν ἢ αὔξησιν ποιεῖ. Cod. Gen.

* 108. ἀμβροσίαν. ἀμβροσία γίνεται ἀπὸ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ βροτόν, ὃ σημαίνει τὸ φθαρτόν, πλεονασμῷ τοῦ μ. E.

* 113. κᾶποι. ἤγουν φυτευόμεναι εὐώδεις βοτάναι ἢ ἄνθη. E.

* 117. ὑγρῷ ἐλαίῳ· ὑγρόν φησι τὸ ἔλαιον, οὐχ ὡς ὄντος ἐλαίου ξηροῦ, καὶ διὰ τοῦτο πρὸς ἐκεῖνο ἀντικείμενον· ἀλλ' ὅτι, τῶν ἄλλων πάντων ὑγρῶν, εἴπερ τισὶν ἐπιχέονται, συντόμως ὑπὸ τοῦ ἡλίου ἀνιμωμένων, μόνον τὸ ἔλαιον ἐπὶ πολὺ τὸ χρισθὲν ὑγρὸν συντηρεῖ. E.

* 126. Ἀ Μίλατος. ἡ Μίλητος, φησίν, ἐρεῖ, καὶ ὁ τὴν γῆν τῆς Σάμου νήσου κατανεμόμενος, ὅπως ἦσαν οἱ τάπητες μαλακοί, ἤγουν, οἱ τὴν Μίλητον καὶ τὴν Σάμον οἰκοῦντες· ἐν ταύταις γὰρ κάλλιστοι γίνονται τάπητες. M.

* 129. γαμβρός. ὁ ἀνὴρ κατὰ Αἰολεῖς. M. ὁ ἀνὴρ κατὰ Σικελιώτας. L.

* 130. οὐ κεντεῖ. ἤγουν οὐ κουρεύει τὸ γένειον, ἵνα φιλούμενος κεντῇ τὰ χείλη τῶν φιλούντων. L.

* 136. ἕρπεις. [Τρικ.] Προείρηται γὰρ ὡς μηνὶ δυσκαιδεκάτῳ ἐξ Ἀχέροντος Ἄδωνις ἀνέρχεται· τοῦτο δὲ οὐδεὶς τῶν ἄλλων ἡρώων εὗρεν. M.

* 138. βαρυμάνιος. Ὁ βαρεῖαν ἀνίαν καὶ λύπην ὑποστάς· ἢ βαρεῖαν μανίαν, ἤγουν μανικὴν νόσον. E. ὁ βαρεῖαν ὀργὴν κατὰ τῶν Ἑλλήνων κτησάμενος· ἢ βαρεῖαν μανίαν, ὥστε καὶ ξίφει ἀναιρεθῆναι. M.

142. Καὶ οἱ Πελασγοί, οἱ τοῦ Ἄργους ἄκροι, τουτέστιν οἱ ἐξοχώτατοι.

* 143. Καὶ ἐς νέωτ'. ἀντὶ τοῦ εἰς τὸ νέον ἔτος, ἤτοι τὸ ἐπιόν. E.

148. ἄγαν ἀντὶ τοῦ ἀκρόλογος ὑπέστρεφεν. — * Καὶ ὁ ἀνήρ, ὅτε ἐστὶν ἄσιτος ὁηλαδή, λίαν ὀριμύτατός ἐστιν ὑπ' ὀργῆς. E.

ΕΙΔΥΛΛΙΟΝ ις'.

* Τρικλινίου. Καὶ τὸ παρὸν εἰδύλλιον ἐκ στίχων σύγκειται δακτυλικῶν ἐξαμέτρων ἀκαταλήκτων ρθ', ὧν τελευταῖος· „ἀνθρώποις...“

* 3. Θεαί ἐντι. αἱ μὲν Μοῦσαι, φησί, θεαί εἰσι καὶ θεοὺς ἐν ᾠδαῖς ὑμνοῦσι καὶ ἀεὶ τοῦτο αὐταῖς μέλει· ἡμεῖς δὲ βροτοὶ ὄντες καὶ βροτοὺς ᾄδομεν. M.

* 17. ἰόν. τὸν τοῦ ἀργύρου ἰὸν τρίψας καὶ καθάρας, αὐτὸν δοίη τινί. M.

* 32. τετυλωμένος. ἤγουν τύλους ἐντὸς τῆς παλάμης ἔχων ἀπὸ τῆς μακέλης, γεωργός. M.

* 35. ἁρμαλιήν. ἤγουν τροφὴν κατὰ μῆνα ἔλαβον ἐν μέτρῳ οἱ πένητες. M.

* 36. Σκοπάδησιν. τοῖς τῶν Θεσσαλῶν ἄρχουσιν ἐρχόμενοι πρὸς τοὺς σήκους, ἤγουν τὰς μάνδρας. M.

* 44. ὁ Κήϊος. Σιμωνίδης ὁ λυρικός. M.

* 48. Τρικλινίου. ἀριστῆας. ἀριστέας λέγει Λυκίων Σαρπηδόνα καὶ Γλαῦκον· οὗτοι γὰρ εἰς ἐπικουρίαν ἦλθον τῶν Τρώων, τῶν Λυκίων ὄντες ἄρχοντες. M.

* 54. Τρικλινίου. συφορβάς. Ἐν Ὀδυσσείᾳ καὶ τὰ περὶ τούτων Ὅμηρος ἱστορεῖ· ὁ μὲν γὰρ συφορβὸς ἦν Ὀδυσσέως, ὁ δὲ βουκόλος. M.

* 57. Ἰάονες. Τοῦ Ὁμήρου ἀπὸ Ἰωνίας ἤτοι τῆς Χίου. M.

* 71. οὐρανός. οὐ κάμνει γὰρ τοῦς μῆνας καὶ τοὺς χρόνους ποιῶν· τοῦτο δὲ διὰ τὸ ἀεὶ κινεῖσθαι αὐτὸν ἔφη. M.

82. ἔτυμος ὃ ἀληθὲς ἐτυμολογεῖται ἀπὸ ἐθίζω, ἔθιμος, καὶ τροπῇ τοῦ θ εἰς τ καὶ τοῦ ι εἰς υ· ἔτυμος. Τὸ γὰρ ἀληθῆ ἐκ φύσεως, τὰ δὲ ψευδῆ ἐπείσακτα· καὶ ὡς οὐκ ἔστιν ἐκ φύσεως· ἔθος γὰρ τὸ βεβαιωθὲν μακρῷ χρόνῳ φύσεως ἰσχὺν λαμβάνει.

* 93. Τρικλινίου. Σκνὶψ ἐστὶ ζῶον βραδυκίνητον

καὶ ἀπὸ τούτου σκνιφαῖον λέγει τὸν ἀργὸν βουκόλον, καὶ τροπῇ τοῦ ψιλοῦ εἰς δασύ, σκνιπαῖον. — λέγοιτο δ' ἂν οὕτως, ἀπὸ τοῦ εἰς κενὸν ἕπεσθαι ταῖς βουσίν· εἴη δ' ἂν τοῦτο καὶ ἐπὶ τῶν ἀργῶν ὁδοιπόρων· οὗτοι γὰρ τὰς βοῦς ὁρῶντες εἰς τὸν σταθμὸν ἐρχομένας, ἐσπέρας καταλαβούσης, καὶ αὐτοὶ σπεύδουσιν εἴς τι καταγώγιον ἀφικέσθαι· σπεύδω ἐγώ, ἐπισπεύδω δὲ ἕτερον, ἀντὶ τοῦ σπουδάζειν ποιῶ. **M.**

96. εἰς ὅπλ' — Τοῦτό φησιν, ὅτι μηδὲ γένοιτο τῷ Ἱέρωνι πολέμους ἔχειν συχνούς, ἀλλὰ κείμενα τὰ ὅπλα καὶ μὴ χρώμενα ἐν αὐτοῖς ἱστὸν αἱ ἀράχναι στήσαιντο.

* 99. πόντου. ἐπέκεινα τοῦ πόντου τῶν Σκυθῶν, ἤτοι τῆς Μαιώτιδος λίμνης. **M.**

* 100. ἀσφάλτῳ. Ἡρόδοτος ἱστορεῖ, ὅτι ἀσφάλτῳ ἔδησεν ἡ Σεμίραμις τὸ τεῖχος τῆς Βαβυλῶνος ἀντὶ πηλοῦ. Τάδε γὰρ ἐν ταῖς λέξαισί φησι· - Ποταμός ἐστι περὶ τὴν Βαβυλῶνα καλούμενος Ἶς· οὗτος ἅμα τῷ ὕδατι θρόμβους ἀσφάλτου ἀναδιδοῖ πολλούς· ἔνθεν ἡ ἄσφαλτος ἐς τὸ Βαβυλῶνος τεῖχος ἐκομίσθη· καὶ πάλιν ἑλκύσαντος δὲ πλίνθους ἱκανὰς ὤπτησαν αὐτὰς ἐν καμίνοισι τέλματι χρεώμενος ἀσφάλτῳ θερμῇ· ἡ πόλις δὲ τοιαύτη δή τις κέεται ἐν πεδίῳ μεγάλῳ, μέγεθος ἐοῦσα μέτωπον ἕκαστον κ' καὶ ρ' σταδίων τετραγώνων· οὗτοι οἱ στάδιοι τῆς περιόδου τῆς πόλεως γίνονται συνάπαντες π' καὶ υ'· τὸ τεῖχος δὲ ν' μὲν πήχεων βασιληΐων ἐὸν τὸ εὖρος· ὕψος δὲ διηκοσίων· ὁ δὲ βασιλήϊος πῆχυς τοῦ μετρίου ἐστὶ πήχεος μέζων τρισὶ δακτύλοισι. **M.**

ΕΙΔΥΛΛΙΟΝ ιζ'.

* Τοῦ Τρικλινίου. Καὶ τόδε ἐκ στίχων σύγκειται δακτυλικῶν ἑξαμέτρων ἀκαταλήκτων ρλζ', ὧν τελευταῖος·

„φθέγξομαι..." — Ἀράτειος ἡ εἰςβολή· τοῦτο δὲ εἰς Πτολεμαῖον τὸν Φιλάδελφον ἐπιγέγραπται, ὃς Πτολεμαίου τοῦ Λαγωοῦ καὶ Βερενίκης παῖς ἦν. M.

28. Τῶ καὶ ἐπεὶ δαίτηθεν. Τὸν Ἡρακλέα φησίν, ὃν ἐκ τῆς τῶν θεῶν εὐωχίας καθίστησαν εἰς τὸν εὔδιον τόπον Ἀλέξανδρος καὶ Πτολεμαῖος.

* 30. Τόξον. Τοῦ Τρικλινίου. Τὸν Ἡρακλέα, φησίν, ἐκ τῆς τῶν θεῶν εὐωχίας ἐλθόντα δοῦναι Πτολεμαίῳ καὶ Ἀλεξάνδρῳ τοῖς αὐτοῦ ἀπογόνοις, τῷ μέν, τόξον καὶ φαρέτραν, ἤτοι ὀϊστοδόκην· τῷ δέ, σιδηροῦν σκύταλον κεχαραγμένον ὄζοις· οἶμαι δὲ ῥόπαλον εἶναι, σιδηροῦν τὸν στηλειὸν ἔχον, ἐνδεδυμένον δέρματι, καὶ ὄζους τινὰς ἔχον, οἷα νῦν εἰσὶ τὰ κοινῶς ἀπελατίνια λεγόμενα, τὰ ἐκ πικρᾶς ἀμυγδαλῆς τὸν στηλειὸν ἔχοντα. M.

* 32. ἀμβρόσιον. εἰς τὸν ἀθάνατον οἶκον τῆς λευκόποδος Ἥβης, ἦγουν τῆς γυναικὸς αὐτοῦ. M.

* 41. Ζῶν ἔτι, φησίν, ὁ Σωτὴρ Πτολεμαῖος, κοινωνὸν τῆς ἀρχῆς τὸν Φιλάδελφον ἐποιήσατο. εἰ δὲ τὸ ὁπότε κεν φιλέων συνάψεις μετὰ τοῦ ἀντεφιλεῖτο πολὺ πλέον, τὰ δὲ ἑξῆς διὰ μέσου εἴρηται, οὐκ ἄτοπον ἦν. M. (Τοῦ Τρικλινίου.)

* 77. Τρικλινίου. Πρὸς τὸ μυρίαι ἦπ., τὸ λήϊον ἀλδ. συνάπτεται· τὸ δὲ ἔθνεα μ. διὰ μέσου εἴρηται. M.

82. Τρεῖς μὲν οἱ πολίων. Ἐπιστημόνως εἰς τὸ ἐργάζεσθαι πᾶν ἔργον ἐπὶ ἔργα τῶν τρεῖς μὲν οἱ πολίων ἑκατοντάδες· τρεῖς δ' ἄρα χιλιάδες τρισσαῖς ἐπὶ μυριάδεσσι· δοιαὶ τριάδες ἑξήκοντα· ἐνδεκάδες τρεῖς, ἐνενήκοντα τρεῖς ὁμοῦ πᾶσαι γά' τρισχίλιαι τῶν ϛγ'. — * Τρικλινίου. Ὁ πᾶς ἀριθμὸς τῶν ἀπηριθμημένων πόλεων ἐστὶ μυριάδες τρεῖς, καὶ χιλιάδες τρεῖς, τριακόσιαι ἐννενήκοντα τρεῖς· τούτων πασῶν τῶν πόλεων ἦρχεν ὁ ἄριστος Πτολεμαῖος. M.

* 89. Καροί. ὧν ἡ πόλις τὸ νῦν λεγόμενον Κάρεον. M.

* 94. ἀσφαραγεῦντι. εἶδος ὅπλου Περσικοῦ. **M.**

* 97. λαοί. Οἱ λαοί, φησί, περὶ τὰ ἔργα ἡσύχιοι γίνονται, διὰ τὸ εἶναι ἐν εἰρήνῃ. **M.**

98. Νεῖλον ἐπεμβάς. περὶ τοῦ Νείλου .... ἐν ἑνίκου τῶν ὑπομνημάτων φησὶν εἰρηκέναι τινὲς μιλησίου σκοπήσαντος τὴν Ναυκράτην προσαγορεῦσαι τὸν κατ' Αἴγυπτον ποταμὸν Νεῖλον ἀπὸ τοῦ κτίστου νειλεωθέμενος τὴν προσηγορίαν.

* 103. Τρικλινίου. ἐπιστάμενος. οὐκ ἄπειρος ὤν, φησί, τῶν πολεμικῶν, ἐκάθητο εἰρηνεύων, ὡς μήτινα τῶν ἐχθρῶν τὴν αὐτοῦ ληΐζεσθαι χώραν, ἀλλὰ καὶ λίαν ἐπιστάμενος δόρυ πάλλειν, ἤγουν πολλὴν τῶν πολεμικῶν ἔχων πεῖραν. **M.**

* 106. Τοῦ Τρικλινίου. Οὐ μὴν ἀχρεῖός ἐστι, φησίν, αὐτῷ σεσωρευμένος ὁ χρυσός, καθάπερ ἐπὶ τῶν ἀεὶ μογούντων μυρμήκων· ἐκεῖνοι γὰρ ἀεὶ σωρεύουσιν ὡς μὴ ἐπιλείψῃ αὐτοῖς ἡ τροφή, ὁ δ' ἀεὶ δίδωσι πᾶσι τὰ πρὸς τὴν χρείαν· περὶ δὲ τῶν μεταλλευόντων τὸν χρυσὸν ἐν Ἰνδοῖς μυρμήκων πολλοῖς ἱστόρηται. **M.**

* 112. Τρικλινίου. οὐδὲ Διονύσου τις. Ἢ τοὺς διθυραμβικοὺς λέγει, ἢ τοὺς κωμικοὺς ποιητάς· οὗτοι γὰρ ἐν ταῖς τοῦ Διονύσου τελεταῖς τὰ αὐτῶν εἰσῆγον δράματα καὶ τοὺς ἰθυφατικοὺς ὕμνους. **M.**

121. μοῦνος ὅδε προτέρων. Οὗτος τῶν προτέρων καὶ τῶν ἑαυτοῦ πάντων προγόνων ἔτι θερμὰ κονίη ἔτι θερμὴ ἡ σποδός· ὅτι πολλοὺς ναοὺς ἱδρύσατο, καὶ λύκως δὲ ἐν τῷ περὶ Νέστορος ἐποίησεν ὁ Φιλάδελφος φησὶν οὗτος φκοδόμησε δὲ καὶ τῶν γονέων ἀμφοτέρων παμμεγέθη ναὸν καὶ ταῖς ἀδελφαῖς Ἀρσινόῃ καὶ Φωτῆρα. — * (Τρικλινίου.) Τὸ εἶσατο ἀντὶ τοῦ ἀνέθηκεν, ἔκτισεν· εἴδω γὰρ τὸ κτίζω, ὁ μέλλων εἴσω, ὁ ἀόριστος εἶσα, ὁ μέσος εἰσάμην, ω, ατο· Καὶ Ὅμηρος· Ἀρτέμιδ' εἶσατ' ἄγαλμα. **M.**

* 129. ἀγοστῷ. ἀγοστὸς ὁ ἄγαν ὀστώδης τόπος

τῆς χειρός· λέγει δὲ τὸν ἀγκῶνα, ἀπὸ τοῦ ἄγεσθαι διὰ τὴν καμπὴν τῆς ὠλένης. ὥσπερ δὲ ἀπὸ τοῦ πολλὸς πολλοστός, οὕτω καὶ ἀπὸ τοῦ ἄγω ἀγοστός. **M.**

131. γάμος. φέρει σύγκρισιν ἀπὸ τοῦ μείζονος, ὅτι οὐδὲν θαυμαστὸν εἰ εἶχε τὸν ἀδελφὸν αὐτῆς ἄνδρα, ἐπεὶ καὶ ἡ Ῥέα ἔτεκε τὴν Ἥραν καὶ τὸν Δία καὶ συνήφθησαν ἀλλήλοις.

ΕΙΔΥΛΛΙΟΝ ιη'.

Τρικλινίου. Καὶ τὸ παρὸν εἰδύλλιον ἐκ στίχων ὁμοίων σύγκειται δακτυλικῶν νή', ὧν τελευταῖος. »Ἦ μάν.....«

* 16. ἐπέπταρεν. Οὕτως, φησίν, ἀγαθός σοι ἐφάνη οἰωνὸς ὅτε ἐς Σπάρταν ἀφίκου, ἔνθα καὶ ἄλλοι ἦσαν ἀριστέες. **M.**

22. ἄμμες. ἀντὶ τοῦ, ἡμεῖς πᾶσαι καλαί ἐσμεν, εἰ μὴ παραβληθείημεν τῇ Ἑλένῃ· [24] ὅτι δὲ ἔθος εἶχον αἱ Λάκαιναι καὶ αἱ Σπαρτιάδες ἀνδρείοις γυμνασίοις καὶ δρόμοις ἀσκεῖσθαι, δῆλον.

* 24. τετράκις. ἦγουν διακόσιαι τεσσαράκοντα· ἢ ἀορίστως ἀντὶ τοῦ πολλαί. **M.**

34. ἐκ κελεόντων. ἦγουν ἐκ τῶν ἱστοπόδων· τέμνεται γὰρ τὸ ὕφασμα ἐκ τοῦ ἱστοῦ ὅταν τελεσθῇ.

39. ἄμμες δ' ἐς δρόμον. [ἡμεῖς δέ, φησίν] ἐς τὸ γυμνάσιον καὶ τὸν λειμῶνα πορευσόμεθα ἀνθολογοῦσαι ἐν ἔαρι.

* 43. πράτα. σοί, φησί, πρῶτον πλέξασαι στέφανον κρεμάσομεν ἐπὶ τῆς πλατάνης, καὶ ἐξ ὄλπιδος, ἦγουν ληκυθίου, ἔλαιον αὐτῷ ἐπιρανοῦμεν. **M.**

47. γράμματα. Ἐπιφράφεται δὲ τῷ φλοιῷ αὐτῆς γράμματα Δώρια· Δώρια δὲ ἐπεὶ καὶ αὗται αἱ Λακεδαιμόνιαι Δωρίδες.

53. ὅπως ἐξ ὑποστροφῆς ὁ ὄλβος εἰς τοὺς ἐκ γένους ἔλθῃ.

56. νεύμεθα. ἅμα ὄρθρῳ καὶ ἡμεῖς ἐλευσόμεθα ὅταν ὁ ἀλεκτρυὼν ᾄσῃ.

XXII. 41. Κυπάρισσοι. Τοῦ Τρικλινίου. κυπάρισσος, ὡς ἐμοὶ δοκεῖ, ἀπὸ τοῦ κύειν καὶ γεννᾷν πάρισσα, ἤτοι ὅμοια. οἵτε γὰρ κλάδοι αὐτῆς πάρισσοι καὶ ὁ καρπὸς ὁμοίως ἔχων· σφαιροειδὴς γάρ. M.

48. μύες. αἱ περὶ τοὺς βραχίονας σάρκες, ἃς φασι κοινῶς ποντικούς. βραχίοσι. τὸ πρὸς τὸν ὦμον μέρος τῆς χειρὸς λέγεται βραχίων· πῆχυς δὲ τὸ ἐξῆς τοῦ ἀγκῶνος. M.

84. ὀπτότερος, ἤγουν ὁποῖος διελθὼν τὸν πρὸς τὰς βολὰς τοῦ ἡλίου βλέποντα δρόμον, καὶ νικήσας ὑποστρέψει πρὸς δύσιν, ἐπὶ τὰ νῶτα αὐτοῦ λάμποντα ἔχων τὸν ἥλιον. M.

116. ὑποφήτης. ὅτι προφήτης μέν ἐστιν ὁ προλέγων τι ἐσόμενον, ἤγουν ὁ τὰ μέλλοντα προλέγων· ὑποφήτης δὲ ὁ τὰ προφήτου ἐξηγούμενος καὶ τὰ δυσνόητα σαφηνίζων. Τρικλινίου. M.

167. Τοῦ Τρικλινίου. Τάδε, φησίν, εἰς οὐδὲν ἐχώρησεν, ἤγουν ἅπερ πρὸς ἑαυτοὺς ἔλεγον ἄπρακτα γέγονε· λέγει δὲ τοῦτο ἐκ μεταφορᾶς τῶν εἰς ὕδωρ γραφόντων, ἢ τοιοῦτό τι ποιούντων ἀνυπόστατον, καὶ τῶν πρὸς ἀέρα τοὺς λόγους ποιουμένων. M. — ἦσκον. μετήρχοντο ἀπὸ τοῦ ἀσκῶ, ἀποβολῇ τοῦ ν. M.

194. Τοῦ Τρικλ. Φασὶ τὸν Λυγκέα ὀξυδερκῆ εἶναι τοσοῦτον, ὡς καὶ τὰ ὑπὸ γῆν ὁρᾶν. Καὶ Ἀριστοφάνης (Plutus 210.) βλέπονθ' ἁπόδειξω σ' ὀξύτερον τοῦ Λυγκέως. Τοῦτο δὲ καὶ εἰς παροιμίαν ἐλήφθη, ἐπὶ τῶν ὀξὺ βλεπόντων λεγόμενον. ἀλλὰ τοῦτο μὲν λῆρός ἐστι μυθικός, τὸ δ' ἀληθὲς ὅτι σοφὸς ἦν, καὶ πολλὰ τῶν τῆς γῆς μετάλλων εὗρεν, ὀξὺ βλέπειν τοῖς πολλοῖς ἔδοξεν. M.

222. *Τοῦ Τρικλ. Καὶ ὡς ἐμός. Ἐπεὶ ὡς ἑκάστου οἶκος εὐπορεῖ τὰ πρὸς θεοὺς ἀναθήματα προσφέρουσιν ἄνθρωποι, διὰ τοῦτο καὶ οὗτος τροπικῶς ὡς ἐμ. οἶκ. ὑπ., φησίν, ἤγουν ὡς ἡ καὶ ἐμὴ τοῦ λόγου εὐπορεῖ δύναμις.* **M.**

XXV. 148. *Τρικλ. ὦμφ. τὰς μὲν χεῖρας, φησίν, εἶχεν ἐρηρεισμένας ἐπὶ τῶν ὤμων αὐτοῦ, πιέζων αὐτόν· τὸ δὲ λοιπὸν σῶμα αὐτοῦ ὀρθὸν ἵστατο ἤγουν οὐ τελείως ὀρθόν, ἀλλὰ συγκεκυφός.* **M.**

(De Dorica Dialecto fragmentum.)

Ἰστέον ὡς οἱ Δωριεῖς τρέπουσι τὴν ου διφθογγον, ὁτὲ μὲν εἰς ω, ὁτὲ δὲ εἰς οι, ὁτὲ δὲ εἰς ευ. Καὶ εἰς μὲν τὸ ω ἐν τοῖς ὀνόμασιν, ὅταν μὴ ἀπὸ συναιρέσεως ᾖ, ὡς μοῦσα μῶσα, βουκόλος βωκόλος, οὖρεα ὦρεα, τοὺς πλόους τὼς πλόως. Εἰς δὲ τὴν οι ἐν ταῖς θηλυκαῖς μετοχαῖς τῶν βαρυτόνων ἐνεστώτων, ὡς τύπτουσα τύπτοισα, γράφουσα γράφοισα. Εἰς δὲ τὴν ευ ὅταν μὲν ἀπὸ συναιρέσεως ᾖ· ὡς Δημοσθένους, — νευς, ποιοῦσα ποιεῦσα· ὡσαύτως καὶ ἐν τοῖς παθητικοῖς μέλλουσι τῶν ὁριστικῶν, ὡς κείσομαι κεισοῦμαι κεισεῦμαι· ἄσομαι, — οῦμαι, — εῦμαι. — Τὸ τύπτομεν, — ομες τῶν πληθυντικῶν οὐ μέντοι καὶ ἐπὶ τῶν ἀπαρεμφάτων· οὐ γάρ φασι τυπτέμες ἀντὶ τοῦ τυπτέμεν, ἀλλὰ τυπτέμεν, τὸ ν φυλάσσοντες.

Ἰστέον ὅτι καὶ τοὺς ἐνεργητικοὺς μέλλοντας ἐπὶ τῆς ὁριστικῆς ἐγκλίσεως καὶ πάσης συζυγίας τῶν βαρυτόνων καὶ περισπωμένων καὶ τῶν εἰς μι περισπῶσιν· ἐπὶ δὲ τῶν ὑποτακτικῶν βαρυτόνους τούτους φυλάσσουσιν, ὡς ἐὰν τύψω· ὡσαύτως περισπῶσι καὶ τοὺς παρ' ἡμῖν προπαροξυνομένους παθητικοὺς μέλλοντας, ποιοῦντες εἰς

ου και τρέποντες τὸ ου εἰς ευ κατα την τῶν περισπωμένων ἀναλογίαν· ὡς κείσομαι, κεισοῦμαι, κεισεῦμαι, ἀναλόγως τὸ ποιήσομαι, ποιοῦμαι, ποιεῦμαι. — Τὸ τύ, εἰ μὲν δηλοῖ τὸ σύ, ὀρθοτονεῖται, εἰ δὲ τὸ σέ, ἐγκλίνεται.

Αἱ ἐπενθέσεις τῶν Αἰολέων, ὡς τὸ κυσὶ κύνεσσι, αἱ ἐπεκτάσεις τῶν Ἀττικῶν, ὡς τὸ οὗτος, οὑτοσί, αἱ ἀφαιρέσεις τῶν Ἰώνων, αἱ συγκοπαὶ τῶν Αἰολέων, αἱ ἀποκοπαὶ τῶν Ἀττικῶν καὶ οἱ πλεονασμοὶ Ἰώνων.

Εἰδύλλιον λέγεται, τὸ μικρὸν ποίημα, ἐπινίκιον δὲ λέγεται ἓν ἕκαστον τῶν τοῦ Πινδάρου. Αἰπόλια ἐπὶ αἰγῶν, βουκολικὰ ἐπὶ βοῶν, ποίμνια ἐπὶ προβάτων, συβόσια ἐπὶ συῶν.

[Hactenus C. Gen. — Quibus haec Gail. addit.]

Ὅτι κατὰ τὸν αὐτὸν χρόνον ἤκμασαν ἑπτὰ ποιηταὶ ἐπὶ Πτολεμαίου τοῦ Φιλαδέλφου καὶ Βερενίκης, οἱ παῖδες ἦσαν ἀμφότεροι Πτολεμαίου τοῦ Λάγου καὶ Βερενίκης, τῆς Ἀντιγόνου θυγατρός. Διὰ δὲ τὸ ἑπτὰ εἶναι τῆς Πλειάδος ἐλέγοντο· ὧν τὰ ὀνόματα· Θεόκριτος ὁ τὰ Βουκολικά, Ἄρατος ὁ τὰ Φαινόμενα καὶ ἕτερα γράψας· Νίκανδρος, Ἀπολλώνιος ὁ τὰ Ἀργοναυτικὰ ἢ Αἰαντίδης Φίλικος, Ὅμηρος ὁ νέος, τραγικός· Βυζάντιος ὁ Ἀνδρομάχου, ὃς δράματα ἐποίησε νζ′ καὶ ὁ Λυκόφρων. F.

Εἰς Βουκολικήν.

Ὥσπερ σκύφος γάλακτος ἢ καὶ κισσύβη
Ἡ βουκολικὴ πᾶσιν ἐγκεῖται βίβλος·
Τοὶ γὰρ ῥοφῶμεν οἱ θέλοντες τὸν λόγον
Στόμασι λάβροις, εἰ κελεύουσι φρένες.

ADNOTATIO CRITICA.

IDYLLIUM I.

Ex numero ρνα΄ patet Triclinium abjudicasse Theocrito vel v. 84. Ἄρχετε, vel v. 107 ὧδε καλὸν, a vv. dd. jam explosos.

B. 3. ἐπί corruptum: fors. ἀεί quod in L. legitur. Cf. fragm. de Dial. Dor.

A. 12. Pro θέλης, leg. θέλεις. — Caeterum optime derivatur λώων, siquidem λάω signif. *avidis oculis intueri*, *appetere*, ut in Hom. Odyss. T. 230 . . . ὁ μὲν (κύων) λάε νεβρὸν ἀπάγχων. (canis hinnulum dum strangularet, *ardenti lumine intuebatur*) sic ἀλάομαι, oculis orbari et errare protensis manibus (ἀλαός).

A. 12. Pro ἀθ. repon. Δωριέων, afferant licet quaedam hujus τροπῆς ex. ex Aeschylo, Sophocle, quae vel a Mstis male probantur, vel e chóris emergunt, doricae dialecto quam maxime obnoxiis.

B. 13. Haec sunt iis similia quae Gaisf. e Cod. Baroc. cum Dionysii Hal. nomine protulit: leg. προέχων.

B. 18. Forsit. leg. ὀξ. δὲ καὶ περ. — ἐφ' αἷς . . . . sunt ad v. 13 ref. —

B. 25. Leg. τὰς . . . . πολυχύλους. Cf. Vat. 5.

* 27. Leg. καρυοφύλλῳ — ἀπὸ μέθης.

B. 29. Locus corr. Schol. enim κισσύβιον a κισσός recte derivat, dein χυσείκιον (q. l.) perabsurdum sane verbum e χέω et πίνω elicit. Cf. schol. ad 27.

* 30. Hanc hex. partem Suidas quoque affert, sine auctoris nomine.

B. 34. Recte *καθεικότες* (barbam pascentes) pro vulg. *καθήκοντες* quod jam tentaverat Koehler (*καθηβῶντες*). — *ὑποχωρεῖν* fors. *προσχωρεῖν*, se alicui permittere.

B. 43. Nunquam Atticus forma *ὠδήκαντι* usus est, at *ἀττικῶς* cum seq. *αἰολικῶς*, quod apprime cum *δωρικῶς* congruit, confunditur. — *τετανρισμένος* vero aeque barbarum est ac *γεγανρισμένος*, quod in *γεγανριασμένος* immut.; — denique, *ὠδήκω* cum *ὠδήκημι* mera sunt somnia: nam Phavorinus: *νόημι, φίλημι· Αἰολεῖς τὰ εἰς — ω εἰς — μι προφέρουσι.* Leg. *οἰδάω, ᾤδημι, αἰολικῶς.* Cf. Maittaire, ed. Sturz, Dial. Graec. pag. 313.

* 45. Francogallus Schol. mirum in modum erravit *du vieux pêcheur* pro *du vieux pêcheur* interp.

A. 51. Recte, quique longius evagantur periculum subeunt. Cf. Boiss. notam atque de variis hujus loci lectionibus Casaub. Lect. Theoc. p. 367.

A. 52. Alludunt hic, ni fallor, schol. noster et Suidas (s. v.) ad Herod. IV. 190 ubi Nomadum Libycorum casas describit: scil.: *οἰκήματα δὲ σύμπηκτα ἐξ ἀνθερίκων ἐνερμένων περὶ σχοίνους· ἐστὶ καὶ ταῦτα περιφορητά·* atque ita, vel ex Suida (q. cf.) vel ex Vat. 6. ap. d. Gaisf. male curtato scholio adjungendum est: *καὶ εἰσὶν ἄθραυστοι ἀλλήλοις ἐμπλεκόμενοι.* maximam inde scholii partem licet ita resarcire: *ἀνθέρικες, αἱ τῶν ἀσταχύων προβολαί,* [*ἤγουν*] *τὰ ἄκρα· Ἡρόδοτος δὲ* [*τούτους*] *τοὺς καυλούς φησι τῶν ἀσφοδέλων* [*οἰκήματα λέγων σύμπηκτα τῶν Νομάδων ἐξ ἀνθερίκων ἐνερμένων περὶ σχοίνους*]· *ἀνθέρικες γὰρ εἰσὶν ἄθραυστοι ἀλλήλοις* [? *σχοίνοις*] *ἐμπλεκόμενοι.* — Herodoti verba, quem bis terve excitat Schol., excidisse non mirandum, quum prae magna scripturae, vel potius operis totius festinatione auctorum locos frequenter exsulare jusserint librarii.

Cf. Id. XVII. 100. — Caeterum Herodoti verba mirum in modum cum Theocriteis congruunt.

In seqq. quum a puero decipulam ad locustas capiendas ex asphodelis nequaquam fieri potuisse Schol. videret, *asphodelorum caules* respuit, *culmum*que admisit ad Etymologiam magis intentus quam prior Theocriti, vel Nicandri Schol. (pag. 26. Ed. Morel). *ἀνθέριξ* igitur haec est pars calami, quam solo adhaerentem linquunt messores, invito tamen Phrynico, qui *ἀθήρ* in *ἀνθρικ* vidit (Cf. in Gaisf. Toupii n.): *κοινοί* sunt recentiores Graeci, nam apud priscos *καλαμαία locustam* tantum significavit. Cf. Id. X. 18.

Gaisfordiana non mendis carent: etenim ex *τὸ αὐτὸ δὲ Φ. καὶ Θ.* constat Schol. quendam citasse, cujus nomen e Cod. evanuit, testibus A. B. 3. 5. Vat. Barr. et Vulc. qui *ὡς φησὶ χυδαῖος* habent. Quis ille fuerit quaerere, non magni existimo, neque sub *χυδαῖος* vel potius *πηχυαῖος* latere facile crediderim, quum *πηχυαῖος* per se bene defenditur. — Leg. itaque: *ὁ δὲ καυλὸς ἀνθέριξ καλεῖται ὥς φησι* [.....], *πηχυαῖος ὤν* .... (A. *ἧς*. B. *ὥς*, Gaisf. *ὅσον*).

In ultimis vocem *ὁ Δωριεύς* corruptam habeo quum Dorensem Apollodorum grammaticum nusquam invenerim, Scholiastaque Theocriti ter Atheniensem afferat; caeterum in Mss. haec vox misere fuit corrupta (A. *Ἀπ. δὲ ὁ υἱὸς ὁ Δ.* B. *ἀπελ. δὲ ὁ δωριέων*, P. *δωρίκων*. Vulc. *δωριέων οὐ λέγεσθαι θέλει* ... Vaticanos ignoro). At ex *δωριέων περὶ θεῶν* licet elicere, Apoll. Athen. Gramm. opus quod apud Schol. Id. II. 36 cit. et saepius apud caeteros. (Cf. in Didot. Coll. *Apoll. Fragm.* a Th. Müllero edita.) Forsitan haec ita melius procederent: *Ἀπ. δὲ ἐν τῷ περὶ Θεῶν οὐ λέγεσθαι θέλει* [*τὸν ἀνθέρικα*] *τὸν τῆς ἀσφοδέλου καυλόν, ὃν ὁ Νεοπτόλεμος γελοίως φήθη τὸν ἀθέρα τοῦ στάχυος.* [*τοῦ στ.* A. et B. ignorant].—

Totum igitur scholium mendis licet depravatum et quadam parte hiulcum, reponemus:

ἀνθέρικες· αἱ τῶν ἀσταχύων προβολαί, τὰ ἄκρα. Ἡρόδοτος δὲ [*τούτους*] *τοὺς καυλούς φησι τῶν ἀσφοδέλων* [*οἰκήματα λέγων σύμπηκτα τῶν Νομάδων ἐξ ἀνθερίκων ἐνερμένων περὶ σχοίνους*]· *ἀνθέρικες γὰρ εἰσὶν ἄθραυστοι ἀλλήλοις ἐμπλεκόμενοι. — ἄλλως. ἀνθέρικ ἡ τοῦ σίτου καλάμη ἦν ἀπὸ μέρους οἱ κοινοὶ καλαμαίαν φασί. — ἀνθέρικος, ὁ τῆς ἀσφοδέλου καρπός, ἧς τὰ φύλλα ὡς πράσου ἀγρίου, μείζω δὲ καὶ πλατύτερα· ὁ δὲ καυλὸς ἀνθέρικ καλεῖται ὥς φησι . . . . ., πήχυαῖος ὢν καὶ μείζων· ταὐτὸ δέ φησι καὶ ὁ Θεόφραστος. ἀλλ' Ἀπολλόδωρος δὲ ἐν τῷ περὶ Θεῶν οὐ λέγεσθαι θέλει* [*τὸν ἀνθέρικα*] *τὸν τῆς ἀσφοδέλου καυλόν,* [*ὃν*] *ὁ Νεοπτόλεμος γελοίως φήθη τὸν ἀθέρα τοῦ στάχυος. —* [Errat Gaisf. scrib. *ἀσφοδελῶν*, quum *ἀσφοδελός* forma sit adjectivi. Suidas: *Ἀ. προπαροξυτόνως ἀναγνωστέον, τὸν δὲ τόπον ἐν ᾧ φύεται ὀξυτονητέον.*]

* 52. pro *σκηρίδαν*, fors. scrib. *ἀσκοπήραν.*

A. B. 53. Haec sensu carent: *τί* schol. exposuit, legendumque, ni fallor, *μέλει δὲ αὐτῷ πήρας οὔτε λεπτοτέρας, οὔτε ἐντονωτέρας.*

* 55. Leg. *ἄκανος*, teste Hesychio qui *ἄκανος, ἄκαινα, ἄκανθα* eodem modo derivat ex *α* priv. et *καινός*· planta scilicet quae nunquam nova fit, quae semper floret.

B. 57. Haec ad antecedentem v. referas, cumque *οἱ γὰρ Αἰολεῖς ἐπὶ ἀπάτῃ διαβάλλονται* conjungas: *ταῦτοι* (imo *ταὐτὸ*) *δέ εἰσι Λ. τοῖς Αἰολ.* — Caeterum in historia non erravit, quum ex Eustathio (Il. *β*. 531) et Scymno Chio (587) constet Locron in occid. Locridem Aeolum coloniam deduxisse, atque Locros perfidia semper fuisse celebratissimos. Hinc proverbium: *Λοκροὶ τὰς συνθήκας* vel *Λοκρῶν συνθήματα.* — De Calydone, quam invito

Homero, sibi vindicabant Aeoles, cf. Cas. Lect. Theocr. p. 368.

* v. 67. Pindus in Doride quaerendus, quum in Cephisum influat.

* v. 75. In *ποϱείας ἀψ. πεϱιφϱαστικῶς τὸ ὀχηθεῖσαι* vulg. M. intpp. est. Gaisf. ex Toup. emend. *ὀχευθεῖσαι*.

B. 106. *ἀπεπανμένος* corruptum est, neque satis intelligo. Fors. *ἀπαναινόμενος ὁ ἀήϱ. ἀήϱ, nebula.*

B. 110. Gaisf. sunt haec meliora, *πτώκας* igitur, si nostro Schol., Casaub., Brunckio, Kiessl. crediderimus, scrib. At rem adhuc esse sub judice patet vel ex Meineckio Boissonadioque, qui *πτῶκας* reliquerunt. — Cf. Intpp. ad Aesch. Ag. 134. Blomf.

A. 115. In seqq. notanda B. Vat. 3. 5. Vulc. lectio: *καὶ ὁ Σώστϱατος ἐνάγει πεϱὶ ἄϱκτων* in qua, ni fallor, latet libri numerus: *καὶ ὁ Σ. ἐν τῷ α′ πεϱὶ ἄϱκτων.*

* 125. Legerunt M. P. *Ἑλίκας δὲ λίπε ϕόον*, sed nihil de fonte Pani sacro in Argolide accepi: memorantur tantum urbs *Halice* (Paus. Corinth. 36.), Pausaniae temporibus deserta, et flu. *Hylicus* in agro Troezenio.

B. 128. Leg. *ϕέϱ' — ἤτοι* pro *ἤδη*. — Caeterum Editorum *ὄντως γὰϱ ἐγώ* recte Schol. in seqq. corrigit, *οὗτος γὰϱ ἐγώ.*

B. 139. Leg. *καταστῆναι.* Schol. cum V. 6 longius progreditur, neque Casaubono, qui prisci in cadaveribus adhibiti moris mentionem facit, neque Valck. assentior qui Schol. sententiam amplexus est. Levamen enim quoddam Daphnidi Venerem poëta facit afferentem, quod, quamvis illam crudelitatis poeniteat, pastoris morte inutile evadit.

* 147. Promontorium fortasse intell. Scholiasta ex quo Xerxes Salaminiensem pugnam prospiciebat, a Thucyd. II. 19. *τὸ Αἰγάλεων ὄϱος* nominatum.

B. 151. Cf. Gaisf. Somniat Graeculus, nam *κισσῶ*, quod sciam, nunquam *τοῦ γεννῶ* locum usurpavit. Cf. tamen Sch. Idyl. V. v. 136, ibique Toupii not.

IDYLLIUM II.

Arg. In num. erravit Triclinius. leg. *ρξς'*.

B. 1. Pro *γοητρίαις* leg. *γοητείαις εἰς*. sic fere K. — Forsitan sunt et haec duo glossemata in unum coacta. Cf. * 1.

A. 2. *κελέβη* nusquam cum *κεφαλῇ* confunditur, at ex varia lectione (*τὰν κεφαλάν*, *τὰν κελέβαν*) ortum Scholiastae somnium. Caeterum, quia male *τὰν κελέβαν* intelligebant, reposuere *τὰν κεφαλάν*, quod patet vel ex Athenaei verbis (XI, p. 475, E.): *ἄδηλον εἰ ποιὸν εἶδος ἐστὶ ποτηρίου, ἢ πᾶν ποτήριον κελέβη καλεῖται.* — seq. habes in Suida s. v. *κελέβη*, at emendatiora. In Ed. Kuster. legitur: K. *κόγχη· ἡ λεκάνη*, at, quum e duobus vasis nostrum illustret Schol., repon. K. *κόγχη ἢ λεκ.* — Incerti versum auctoris male, ni fallor, interpretatus est Kusterus: legit enim:

Ἐκ δ' ἔχεεν κελέβη, μετὰ δ' αὖ κεράς ἠφύσατ' ἄλλο.

»(liquore) ex celebe effuso, alium deinde quem miscuerat, hausit,« a Suida, crediderim, deceptus qui sub v. *κεράς* interpp. *ἐπίῤῥημα ἀντὶ τοῦ κεραστικῶς*.

κέρας enim poculum est vel corneum vel argenteum, cornuum figuram referens, quo inter coenandum saepius utebantur, ne plenum illud deponerent convivae. Cf. Caesar. Bello Gall. VI. 28. Hor. II, Sat. 2. 61.), — *ἀφύσσομαι* vero vim medii habet ut in Hom. Iliad. 3. 295:

Οἶνον δ' ἐκ κρητῆρος ἀφυσσάμενοι δεπάεσσιν Ἔκχεον · — atque ita legendus erit e Cod. Gen. in Suida versus:

Ἓς δ' ἔχεε κελέβην, μετὰ δ' αὖ κέρας ἠφύσατ' ἄλλο. — Caeterum Cf. Letronne, Journal des savants. Oct. 1833. p. 617.

* 10. Leg. fort. vel *ἐν τῷ πυρὶ καιομένων*, ut fere N., vel *ἐν τῷ ποτηρίῳ κειμένων*.

8. 12. Leg. *τροφόν*: — alludit fors. Scholiasta ad hos Hymni in Cererem versus, 438 seqq.

Τῆσιν δ' ἐγγύθεν ἦλθ' Ἑκάτη λιπαροκρήδεμνος·
Πολλὰ δ' ἄρ' ἀμφαγάπησε κόρην Δημήτερος ἀγνήν·
Ἐκ τοῦ οἱ πρόπολος καὶ ὀπάων ἔπλετ' ἄνασσα. At nulla ibi de Hecate Proserpinae nutrice fit mentio, amica tantum venit. — In seq. leg. *ἦ παρόσον πρύτανιν* [*νερτέρων*] *αὐτὴν κ.*

A. 17. Suidae quoque sunt refer. quae Casaub. edidit ex nostro cod. (Cf. Gaisf.) — Quae seq. ad v. 28 pertinent. Leg. *αἱ γὰρ* (Simaetha cum Thest.) *τρ. ἐκ κηροῦ* vel *κήρινον ἐμβ. καὶ διὰ ἰμάντος ἑκ. ἀνάψασαι, τοῦτον περ. ῥομβ. τὸν κυκλ. ὑπὲρ π. ἐπάδ.* ὃ *βούλ.* · ὁ δὲ *ἀναδινούμενος ἡσ. τ.* [*καὶ*] *ἐπ. αὐτῷ, ἂν τύχῃ*, ... Pro *ῥόμβος* leg. *κηρός* vel *τροχός*; nihil enim hic facit rhombus.

B. 24. Alterum *ἡ δάφνη* del.

A. 30. Quae Cas. edidit (Cf. Gaisf. not. q.) exstant in Cod. Gen. — Sequuntur excepta quaedam e Suida s. vv. *ῥομβεῖν*, *ῥόμβος*, quibus mendum ex Maecii Epigr. (Anthol. Palat. VI. 33.) tollitur; quos in Ed. sic habes:

Ἀγιαλῖτα Πρίηπε, σαγηνευτῆρες ἔθηκαν
Δῶρα παρ' ἀκταίης σοὶ τάδ' ἐπωφελίης,
Θύννων εὐκλώστοιο λίνου βυσσώμασι ῥόμβον
φράξαντες ... —

at Cod. Gen. *Θύννον ἐϋπλύστοιο*, quod opt. lect. praebet:

Θύννον, ἐϋκλώστοιο λίνου βυσσώμασι ῥόμβον
φράξαντες, ...

scilicet: „o Priape thunnum tibi consecrant piscatores, quia tuo numine, retibus illorum rhombus haesit“ ... Rhombus enim in maximis veterum deliciis ponebatur, (Hor. 1. Sat. 2. 115: Num esuriens fastidis omnia, præter Pavonem rhombumque...) dum thunnos pauperum coenulis permittebant, ex nimia videlicet horum abundantia; sic Martialis (X. 48. 12.) convivium amicis parans inter: „varias quas habet hortus opes“ – „madidum thynni de sale sumen“ posuit. — De piscium consecratione Cf. Intpr. ad *Βερενίκης ἀποσπασμάτιον*.

A. 38. Sic Suidas s. v. at brevior. Scrib. *ἀήτης*.

B. 48. Recte quidem: sed forsitan ex edit. leg. *τι ἐπιφυόμενον καὶ ὥς* [*φησιν*] *Ἀρ.*

B. 53. Leg. *ἀναγκάσω*.

B. 55. Ex Bar. Gaisf. haec ultima protulit. Leg. *ἀνιαρέ*.

B. 59. Similia, sed meliora habet apud Gail. P. — pro *ζήμωσον*, leg. *ζύμωσον* – *τὴν αὐτὴν φλιάν* – *ὀχέων*, addendumque: *τὰ Δέλφιδος ὀστέα πάσσω. Περὶ .... ὀχ.* ab. a P.

B. 65. Ad versus princ. refer. hoc Glossema.

B. 69. *φαρμάκων* leg. *φαρμακειῶν*. – A scripturae compendio, quod minus noverat, librarium fuisse deceptum crediderim, atque *Εὐφορίωνος* pro *Σώφρονος* reposuisse. Cf. Arg.

B. 71. Leg. *προετράπην*.

B. 72. *δεινὸν ᾧ ᾄδεται* Gaisf. ex Vulc.

B. 73. Excerpta sunt e Suida, s. vv. *βυσσός* et *ξύστις*. Pro altero *βύσσον*, Suidas: *βαρυτόνως δὲ σημαίνει*. — In seqq. *ἀττικῶς... κοινῶς* absunt a Suida, ibique sunt reponenda. – *καὶ τραγικόν*, Suid. *τραγικόν*, *φοροῦσι*. Pro *πόρφυρε*, leg. *πορφύρην*. – Locum Plinii (Hist. Nat. XIX. 4.) margini libri quem exscribebat appictum vidit librarius, cum Suidae Lex. pagina, atque male cautus, hunc in textum transtulit: quae in istiusmodi Mss. ubi-

que occurrunt. Caeterum in Plinii l. leg. scripula, auri. — De bysso, cf. doct. Letronnii not. Inscript. de Rosette, p. 20.

B. 74. Leg. *ἀναλαβομένη*.

* 76. Leg. *ἀμάξας*.

B. 80. Leg. ex P. *πόνον δὲ νῦν*...

B. 82. Leg. *Καὶ, οὕτως· ὡς εἶδον*..

A. 88. Gen. schol. Vat. 6. exhibet, at sanius: *αἱ τρίχες ἔπεσον ῥυεῖσαι τῆς κεφαλῆς — ὑπελέλειπτο*.

B. 101. *Τὸ τᾶδε εἰ — διηγοῦ*. sic P. rectius.

B. 110. Imaguncula forsitan, quam Veneri nupturae consecrabant virgines. Cf. Pers. Sat. II. 70. *Nempe hoc, quod Veneri donatae a virgine pupae.* Vox est rarissima, nec schol. aspernendus. Cf. Kiessl.

B. 122. Leg. *λινίσκοις, ταινίαις*.

B. 124. Leg. pro *καὶ ταῦτα*, *καὶ τοῦτο*. et fort. pro *ἄρεστος, ἄριστος*.

B. 144. Leg. *Φιλίστας*. Cf. Gaisf. v. 142.

* 148. Pro *ἔχειν* leg. *ἐκχεῖν*.

B. 149. *Καὶ εἶπε*... — In seqq. leg. *λέγων σε στεφ.* nam ex similitudine literarum (*σε στ.*) pronomen excidit. — *τὸν γὰρ ἐρ.* Corrupta haec, legendumque, ni fallor, *τῷ γὰρ ἐρωμένῳ*... *οἶνον ἔλειβεν*. Caeterum notandus vocis *δαιτυμών* exquisitus usus, qua cum *ministri* signif. usus est unus Homerus (cf. Pass. s. v.); recentiores vero vocem posuere *ἐπὶ τῶν κλητῶν φίλων εἰς δαῖτα*. Cf. Iliad. K. 578.

. . . . . *ἀπὸ δὲ κρητῆρος Ἀθήνῃ*
Πλείου ἀφυσσάμενοι λείβον μελιηδέα οἶνον.

Post *ἔφυγέ σε*, scholium cum lect. variet. fere nulla librarius iterum reposuit.

* 158. Leg. *ἐμποιοῦσαν*.

B. 159. Leg. *οὐ καταχ.*, quum *καταχειρίζομαι* sit *e manibus mitto, dimitto.*

B. 162. Post lect. Vat. 5, haec B.: ἡ οὕτως τῇ Σελήνῃ τοῦ φίλου μου Ἀσσυρίου, quae sic corrig. arbitror: delendum τῇ Σ., quod ex praec. occurrit, leg. que, ἤγουν ὄντος τοῦ φίλου μου Ἀσσυρίου.

* 164. Leg. ἀναδέξομαι αὐτόν.

IDYLLIUM III.

Tit. Leg. Κῶμος. — Cf. Arg. Id. XXII. Vat. 9, et Id. XXVIII. — Addit ex err. manifesto, Λέγει δὲ ὁ Κορύδων, sicut F. Βάττος πρὸς Κορύδωνα μονοπροσώπως.

B. 5. Leg. ἦ πύῤῥον — κνήκου; nam de τὸ κνῆκος valde dubit. Cf. Toupii n. — In seq. κορύπτειν, ut jam voluit Hemsterhuis et v. 8 δριμύλος pro Ἑρμύλος.

* 20. συστέλλεται. haec, ni fallor, ad v. 21 ποιησεὶς sunt refer.

* 21. Leg. [αὐτίκα] νῦν... —

A. 23. Haec e Suida, in quo ἦν reponas. Ad schol. v. 26, leg., ut in Ms., ἀλοῦμαι, Gaisf. ex Casaub. ἀλεῦμαι.

B. 29. Suidae verba quaedam refert Sch., at in plur. discrepat. — A. varietatem nullam peculiarem habet, nisi: ἄλλοι δέ φασι φυτάριον εἶναι ὃ τινες τῶν ἐρωτικῶν τιθέντες ἐπὶ τὸν ὦμον.... —

B. 32. Leg. ἦ ἡ παροδῖτις, ut in Anthologia, παροδῖτις ἀηδών dicitur τῶν Νυμφῶν· — pro θεός leg. θερισταῖς. Cf. Ed. — ἦ ἡ ἔριθος, ut in Hes. Ἔργ. v. 562,

θῆτα τ' ἄοικον ποιεῖσθαι καὶ ἄτεκνον ἔριθον.

A. 40. Leg. [ἱππομένης] ὄνομα... —

42. Haec de Atal. narratio sub hujus Id. fin. occurrit, nec ab Editis in rebus differt: videtur tamen recentior. — Leg. γάμον αὐτῆς — τῷ νικήσαντι ταύτην [πρὸς δρόμον, καὶ πολλοὺς θελήσαντας νικῆσαι ἀνεῖλεν·]

τὸν γὰρ. sic M. — pro ἀνηγάγετο, leg. ἠγάγετο vel εἰσηγάγετο.

B. 43. Leg. γαμῆται τ. ἀδ. [Βίαντι] ἡ Πηρώ, ἥτις... — Quod ad Alphesiboeam alterius Melampodis matrem attinet, vereor ne Schol. erraverit: Biantis saltem inter liberos, ab Apollodoro commemoratos, nullus exstat Melampus, quum tamen, ex veteri more Graecorum, saepius a fratris nomine filius alter vocaretur (Cf. Herod. VI. 103.). De scholii fonte cf. inf.

B. 44. Sequitur Melampodis historia, e quodam Apollodori Ms., non admodum sano, derivata. Lectionis var. ut in Gaisf.: haec solum not.: .. ὁ Ἴφικλος ἔλκυσε καὶ ἀπέλυσε σὺν ταῖς βουσὶ καὶ ἔγημε Βίας τὴν Πειρώ, in quibus leg. ὃν ὁ Ἰ. ἐκλύσας ἀπήλασε... Πηρώ. Sic in Apollodoro (Ed. Clavier, pag. 74) leg. λύσας et (p. 76) ἤλασε. — In Arg. Id. VIII. haec eadem Melampodis historia, casu nescio quo, recurrit, notandaque lect. varietas: Πυρὼ τῷ συντιθεμένῳ ἀγ. αὐτῷ τ. Ἰφ. βόας ἐκδοῦναι πρὸς γάμον ὑπέσχετο — εἰς διάβρωσιν, ὥστε τὴν οἰκίαν καταπεσεῖν καὶ προμ. (Cf. Gaisf. not. s.) — πῶς παῖδας ποιήσοι — ἐκτέμνοντι . . . ποτε ξύλα ὁ Ἰφ. Nimium tamen sollicitatur Clavierius (in notis) de arboribus, quas arietum in locum suffecit Schol. Μοναχικῶς enim vivebant scribebantque tales viri, et, ut exemplum afferam, in μορίοις quod sequitur haesit noster, reposuit que μηρίοις. Sic in princ. κωμάσδω ποτὶ τὰν Ἀ., Basilius (Not. Mss. XI. p. 2. pag. 121.) ἐπὶ πορνείᾳ πορεύομαι interpretatur. Cf. Boisson. l. l. — Caeterum παρεστήκει habet ut jam Toup. Reiskiusque jusserant. — In fine schol.: .... σκεπομένου, οἱ πόδες αὐτοῦ μόνοι γυμνοὶ ἦσαν τὴν τοῦ ἡλίου ἀκτῖνα δεχόμενοι καὶ διὰ τοῦτο Μελάμπους ἐκλήθη.

* 50. Editum Πλουτῶνα in Πλοῦτον jure mutavit Hemsterhuis. quod firmat C. G.

In Arg., varietas lect. plane cum Schell. (Cf. Kiessling.) congruit: notandum tamen *κατὰ ρδ' Ὀλυμπ. ἤκμασε*, quo fretus *ρκδ' Ὀλυμπιάδα* scripsit Casaub.

B. 3. Leg. *ἐφ' ἑσπέρας*. Locus est Gregor. Cor. p. 254. In seq. dat noster *εἴθισαν*.

7. Gaisf. *ἀγνοοῦσι δέ κ. τ. λ.* Sunt haec corrupta vixque Mss. ope resarcienda. B. *καλλιστεφάνης ἐλ..... ὅτι ἀπέχει στ. ἡ'*. Ex variis a Gaisf. lectionibus allatis, forsitan haec propiora veris essent: *ἀγνοοῦσι δέ, ὅτι οὗτος ἐκ τῆς ἐν Ἄλτι καλλιστεφάνου ἐλαίας γενόμενος δίδοται, ἥτις ἀπέχει σταδίων ὀκτώ, ὡς φ. Ἀρ. — Καλλ. ἐλ.*, ut ex Pausania accepimus (Eliac. pr. XV pr.), olivae nomen erat quae victorum coronas dabat.

B. 7. Post *δηλοῦν* (in sch. prim.) haec habet cum M.: *τουτέστι, καὶ πότε ἐκεῖνος εἰς ὄψιν ἀγῶνος ἦλθεν*.

B. 10. *λιγγάριον*, quod Scaligeri conject. firmat *λιγάριον* a *ligo* legentis. — Leg. *ἵνα ἔχῃ*.

B. 15. Leg. *ἐφ' ἣν οἱόντε ... στείλασθαι*.

B. 16. Egregie de Callimacho mihi videtur meruisse Toupius, at e varia Ms. lect. versus forsitan immutandus. Pentameter est, ni fallor, ita reponendus:

Προίκιον ἐνδυκέως εἶδαρ ἔρωτος ἐών.

Perpetuo vanoque simul consumptus amore.

Ἔρως enim in Vat. 3. 4. 5., deturpatum, licet apparet (*δικέρως* 3. *διακέρως* 4. *ἐνδικέρως ὕδωρ ἔδων* 5.) et in Gen. ceteris a verbis plane distinguitur. — *ἐών* ex C. Gen. reposui.

B. 18. Locum Cratini vel Carcini e Mss. depravatis lect. non elicit Toupius: schol. Gen., ni fallor, habet meliora, at non ea quae versibus medicinam afferant. Τῷ *στεφάνῳ* nempe rejecit, quod glossema sapit eque libri margine in interiorem versum irrepsit. De *πατρῴων*,

ut mihi videtur, non dubitandum. Cratinus forsitan de juvene quodam agit, qui lautas reliquit epulas ut domum repetat, convivali caput redimitus corona. — Nota est Polemonis historia. Cf. Diog. Laërt.

B. 22. Ad v. *Φύσκω* sunt haec refer.

B. 26. *φεῦ*. S. G. rectius *ἁρμόζον* habet. (Gaisf. *ἁρμόζουσα*.)

B. 28. Cf. de nostro scholio Casaub. notam apd. Gaisf.

B. 29. *μεμόλυται* C. G , pro vulgato *μεμόλυνται*.

B. 33. Pro *ὅθεν καὶ*.... C. G. *σαφὲς δὲ ἐκ τούτου καὶ εἰς παροιμίαν ἐλθεῖν*.

A. 45. *Θαλλός* saepius apud Atticos ramum arboris *κατ' ἐξοχήν*, olivae scil. significat: sic Eurip. Suppl. 10. *ἱκτῆρι θαλλῷ πρόσπ. Θύρσοι* vero „sunt *ἁπαλοὶ κλάδοι τοῖς νάρθηξι περιπλεχθέντες*, totusque scipio ramis implicatus.“ Sic Damm Lex. Hom. s. v. *Θύσθλα*.

B. 49. Haec, quae Schol. post Archil. v. inseruit ad v. 23 sunt fortasse refer.

